


AMSTELAEDAMI
apud J. WETSTENIUM 1750.


Nazionale V. E. II
ROMA

ΕΠΙΚΤΗΤΟΥ

ΕΓΧΕΙΡΙΔΙΟΝ.

EPICTETI

ENCHIRIDION.



ΕΠΙΚΤΗΤΟΥ

ΕΓΧΕΙΡΙΔΙΟΝ.

ΚΕΦ. I.

Τῶν ὄντων τὰ μὲν ἐςιν ἐφ᾽ ἡμῖν, τὰ δὲ οὐκ ἐφ᾽ ἡμῖν. ἐφ᾽ ἡμῖν μὲν ὑπόληψις, ὁρμὴ, ὄρεξις, ἔκκλισις· καὶ ἑνὶ λόγῳ, ὅσα ἡμέτερα ἔργα. οὐκ ἐφ᾽ ἡμῖν δὲ τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαί· καὶ ἑνὶ λόγῳ, ὅσα οὐχ ἡμέτερα ἔργα.

2. Καὶ τὰ μὲν ἐφ᾽ ἡμῖν ἐςι φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαρεμπόδιςα· τὰ δὲ οὐκ ἐφ᾽ ἡμῖν ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια.

3. Μέμνησο οὖν, ὅτι, ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, ταραχθήσῃ, μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους· ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐςὶν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινὶ, ἄκων πράξεις οὐδὲ ἕν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις· οὐδὲ γὰρ βλαβερόν τι πείσῃ.

4. Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν· ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δ᾽ ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτα θέλῃς,

EPICTETI

ENCHIRIDION.

Cap. I.

Res quædam in poteſtate noſtra ſunt, quædam non ſunt. In noſtra poteſtate eſt opinio, appetitio, deſiderium, averſatio; &, ut uno complectar verbo, quælibet noſtræ actiones. Noſtri arbitrii non ſunt corpus, pecunia, gloria, imperia: ad ſummam, ea, quæ ipſi non agimus, omnia.

II. Ac ea quidem quæ nobis parent, libera ſunt natura ſua, nec prohiberi ab ullo, nec impediri poſſunt. In quæ autem ipſi jus nullum habemus, ea ſunt infirma, obnoxia ſervituti, obnoxia impedimentis, aliena.

III. Proinde memento, ſi ea, quæ natura ſerviunt, libera putaris, & aliena pro tuis habueris, fore, ut impediaris, lugeas, perturberis, Deos hominesque accuſes. Sin id ſolum tuum exiſtimaris, quod tuum eſt; aliena vero, ut ſunt, aliena: te nemo coget unquam, nemo impediet, neminem accuſabis, neminem criminaberis, nihil ages invitus, nemo te lædet, inimicum non habebis. Neque enim ullam calamitatem accipies.

IV. Cum igitur tantas res appetas, ſic eas ſuſcipiendas eſſe memento, ut ſis non mediocriter incitatus; atque alia penitus relinquenda, alia in præſentia omittenda cenſeas. Quod ſi & illas deſi-

λης, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνον εὐδαιμονία καὶ ἐλευθερία περιγίνεται.

5. Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι φαντασία εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον. ἔπειτα ἐξέταζε τοῖς κανόσι τούτοις, οἷς ἔχεις· πρώτῳ δὲ τούτῳ, καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω τὸ, διότι οὐδὲν πρός σε.

6. Μέμνησο ὅτι ὀρέξεως μὲν ἐπαγγελία, τὸ ἐπιτυχεῖν, οὗ ὀρέγῃ· ἐκκλίσεως δὲ ἐπαγγελία, τὸ μὴ ἐμπεσεῖν ἐκείνῳ, ὃ ἐκκλίνεται· καὶ ὁ μὲν ὀρέξει ἀποτυγχάνων, ἀτυχής· ὁ δὲ ἐκκλίσει περιπίπτων, δυστυχής. ἂν μὲν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοὶ, οὐδενὶ ὧν ἐκκλίνεις, περιπέσῃ. νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυστυχήσεις.

7. Ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν. τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. ἄν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινος, ἀτυχεῖν ἀνάγκη. τῶν δ' ἐφ' ἡμῖν, ὅσων ὀρέγεσθαι καλὸν ἂν, οὐδὲν οὐδέπω σοὶ πάρεστι. μόνῳ δὲ ὁρμᾷν καὶ ἀφορμᾷν χρῶ, κούφως μέντοι καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

8. Ἐφ'

deraris, & magistratus etiam atque opes appetieris, & tuos florere volueris: fortasse ne hæc quidem assequeris, propter earum, quas ante diximus, cupiditatem: iis certe omnino excides, per quas solas felicitas & libertas comparatur.

V. Itaque viso cuivis aspero, statim, sic ut respondeas, operam dabis: visum id esse, nec plane id quod videatur. Post, in exquirendo, eas adhibeto regulas, quas habes, eamque cum primis ac potissimum, Utrum id visum in rebus versetur nostræ potestati subjectis, an vero alienis. Quod si in alienis; in promtu sit, illud ad te nihil attinere.

VI. Appetitionis eam esse pollicitationem memento, fore ut consequatur id quod appetat: Aversationis, ne in id incidat quod aversetur. Is porro quem appetitio frustratur, infortunatus est: qui in id incidit quod aversatur, calamitosus. Itaque si ea solùm aversère, quæ eorum naturæ, quæ in tua potestate sunt, repugnant; in eorum, quæ aversaris, nihil incides: At si morbum averseris, aut mortem, aut inopiam, calamitatem subibis.

VII. Aversationem igitur ab iis rebus amovebis omnibus, quæ in nobis sitæ non sunt: atque in eas transferes, quæ naturæ eorum, quæ nostri arbitrii sunt, repugnant. Appetitionem autem hoc tempore prorsus auferto, nam si ea, quæ nostri arbitrii non sunt, desideraris, frustrari necesse erit. Ea vero quæ nobis parent, quat enus recte possint expeti, nondum es assecutus. Sed eo tantum utitor motu animi, quo vel accedas ad eas res, vel ab iisdem recedas: verum leviter, & cum imminutione, & remisse.

8. Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείαν παρεχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν ὁποῖόν ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρξάμενος· ἂν χύτραν στέργῃς, ὅτι χύτραν στέργεις. κατεαγείσης γὰρ αὐτῆς, οὐ ταραχθήσῃ. ἂν παιδίον σαυτοῦ καταφιλῇς, ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς· ἀποθανόντος γὰρ αὐτοῦ οὐ ταραχθήσῃ.

9. Ὅταν ἅψασθαί τινος ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτὸν, ὁποῖόν ἐστι τὸ ἔργον· ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ· τοὺς ἀπορραίνοντας, τοὺς ἐκκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας, καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου. ἐὰν ἐπιλέγῃς, ὅτι εὐθὺς λούσασθαι θέλω, καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου. οὕτω γὰρ, ἄν τι πρὸς τὸ λούσασθαι γένηται ἐμπόδιον, πρόχειρον ἔσται ὅτι οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι. οὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

10. Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα· οἷον θάνατος οὐδὲν δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο· ἀλλὰ τὸ δόγμα τὸ περὶ θανάτου, ὅτι δεινὸν, ἐκεῖνο τὸ δεινόν ἐστιν. ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταραττώμεθα, μηδέποτε ἄλλους αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τουτέστι τὰ ἑαυτῶν δογ-

VIII. Singulis in rebus, quæ vel delectant, vel usui serviunt, vel diliguntur, memento considerare cujusmodi sint; exorsus à minutissimis. Si ollam diligis, te ollam diligere: nam ea confracta, non perturbaberis. Si filiolum, aut uxorem, hominem à te diligi: nam eo mortuo non perturbaberis.

IX. Opus aliquod aggressurus, ipsi tibi subjicito, cujusmodi sit illud opus. Si lavatum abieris, ea tibi proponito quæ fiunt in balneo: alios perfundi, alios loco pelli, alios convicia facere, alios furari. Sic tutius rem aggredieris, si ipse tibi dixeris: Et statim lavabo, & meum institutum naturæ congruens conservabo. Eodemque modo in unoquoque negotio. Sic enim, si quid impedimento lavationi tuæ fuerit, in promtu erit: Equidem non hoc solum volui, sed & institutum meum, naturæ consentaneum, tueri volui. Neque vero tuebor, si ea, quæ fiunt, ægre tulero.

X. Homines perturbantur, non rebus, sed iis, quas de rebus habent, opinionibus. Verbi causa: Mors non est malum; alioqui enim & Socrati ità visum esset: sed opinio de morte, quæ malum eam facit. Cum igitur impedimur, aut distrahimur: non alios culpemus, sed nosmet ipsos, hoc est,

δόγματα· ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠργμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, τὸ μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ.

11. Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ἄν, ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν· σὺ δ' ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι, ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ. τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν. ὥσθ' ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπαρθήσῃ. τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

12. Καθάπερ ἐν λιμένι, τοῦ πλοίου καθορμισθέντος, ἂν ἐξέλθῃς ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργόν ἐστι καὶ κοχλίδιον ἀναλέξασθαι, ἢ βολβάριον· τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήποτε κυβερνήτης καλέσῃ. καὶ τότε πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς, ὡς τὰ πρόβατα. οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ἀντὶ βολβίου καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα πάντα, μηδὲν ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτε τοῦ πλοίου μακράν, μήποτε καλοῦντος ἐλλίπῃς.

13. Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι, ὡς θέλεις· ἀλλὰ θέλε γίνεσθαι τὰ γινόμενα, ὡς γίνεται, καὶ εὐροήσεις. νόσος σώματός ἐστιν ἐμπόδιον,

προ-

nostras opiniones. Alios accusare in calamitate sua, hominis est ineruditi: se ipsum, ejus qui erudiri cœpit: nec se, nec alium, eruditi.

XI. Nulla aliena præstantia efferaris animo. Si equus semet jactans diceret, sum pulcher; ferendum esset. Tu vero cum insolenter gloriaris, te pulchrum equum habere: scito, equo te bono superbire. Quid igitur est tuum? Usus visorum. Quapropter cum in usu visorum ita moratus fueris, quemadmodum natura postulat, tum effereris. Tum enim aliquo tuo bono lætaberis.

XII. Quemadmodum in navigatione, subducto navigio, si aquatum exieris, obiter fortassis etiam cochleolam colliges, aut bulbum: animo autem in navigium intento esse oportet, ac continenter solicito, ne gubernator vocet: ac tum illa omnia relinquere, ut ne vinctus, tanquam oves, in navim conjiciaris. Ita etiam in vita, si tibi, vice cochleæ aut bulbi, detur uxorcula & puer, nihil impediet. At si gubernator vocarit, curres ad navim, relictis illis omnibus; neque respicies. Quod si senex es, cave unquam à nave recedas longius; ne quando vocatus deficias.

XIII. Ne postules, ea quæ fiunt, arbitratu tuo fieri: Sed si sapis, ita fieri quæque velis, ut fiunt

Morbus est corporis impedimentum; instituti non

item,

προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. χώλανσις σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ. καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σοῦ δὲ οὔ.

14. Ἐφ' ἑκάστου τῶν προσπιπτόντων, μέμνησο ἐπιστρέφων ἐπὶ σεαυτὸν ζητεῖν· τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. ἐὰν καλὸν ἴδῃς, ἢ καλήν, εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν. ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν. ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι.

15. Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτό, ἀλλ', ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; οὐκοῦν καὶ τοῦτο ἀπεδόθη; ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπήτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες.

16. Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους διαλογισμούς· ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. κρεῖσσον γὰρ λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον· κρεῖττον δὲ τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα.

17. Ἄρξαι τοιγαροῦν ἀπὸ τῶν μικρῶν. ἐκχεῖται τὸ ἐλάδιον; κλέπτεται οἰνάριον; ἐπίλεγε, ὅτι

το-

item, nisi ipse velis. Claudicatio pedis est impedimentum, instituti non item. Quod si singulis in rebus, quæ incidunt, consideraris; invenies eas alterius cujuspiam rei, non tui, esse impedimentum.

XIV. Quicquid inciderit, in eo memento, ad te conversus, inquirere, qua facultate sis ad usum ejus instructus Si quem formosum, formosamve videris, ad eam rem temperantiæ facultas in promtu erit: Si labor objectus fuerit, tolerantiam reperies: Si convicium, patientiam invenies. Quod si te ita consuefeceris, visis non obtemperabis.

XV. Nunquam te quicquam perdidisse dicito, sed reddidisse. Filiolus obiit? redditus est. Prædium est ereptum? an non id quoque est redditum? At improbus est qui eripuit. Quid id tua refert, per quem, is qui dederat, abs te repetierit? Sed quamdiu concesserit, tanquam alienum id curato, ut cauponam viator.

XVI. Si quid proficere studes, istiusmodi cogitationes missas facito; Si mea neglexero, non erit unde vivam: Nisi puerum castigâro, malus erit. Præstat enim perire fame, timoris ac molestiæ expertem; quam copiis omnium rerum circumfluentem, animo vivere perturbato. Et puerum malum esse præstat, quam te infelicem.

XVII. A parvis igitur auspicare. Oleum effunditur? villum surripitur? Subjice tibi: Tanti vænit tran-

τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν περιγίνεται· ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύναται μὴ ὑπακοῦσαι· καὶ ὑπακούσας, μηδὲν ποιῆσαι, ὧν θέλεις· καὶ οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐπ' ἐκείνῳ ᾖ, τό σε μὴ ταραχθῆναι.

18. Εἰ προκόψαι θέλεις, ὑπόμεινον, ἕνεκα τῶν ἐκτὸς ἄνους δόξαι καὶ ἠλίθιος. μηδὲν βούλου δοκεῖν ἐπίστασθαι, κἂν δόξῃς τισὶν εἶναί τις, ἀπίστει σεαυτῷ. ἴσθι γὰρ, ὅτι οὐ ῥᾴδιον, καὶ τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι, καὶ τὰ ἐκτός· ἀλλὰ τὸν ἑτέρου ἐπιμελούμενον τοῦ ἑτέρου ἀμελῆσαι, πᾶσα ἀνάγκη.

19. Ἂν θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους σου πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπί σοι θέλεις ἐπί σοι εἶναι· καὶ τὰ ἀλλότρια, σὰ εἶναι. οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ. θέλεις γὰρ, τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι· ἂν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. τοῦτο οὖν ἄσκει, ὃ δύνασαι.

20. Κύριος ἑκάστου ἐστὶν, ὁ τῶν ὑπ' ἐκείνου θελομένων, ἢ μὴ θελομένων, ἔχων τὴν ἐξουσίαν εἰς τὸ περιποιῆσαι ἢ ἀφελέσθαι. ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις. εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη.

tranquillitas, tanti constantia; gratis autem nihil acquiritur. Cum vero puerum vocas, fieri posse cogita, ut præsto non sit: &, ut sit, nihil agat ex animi tui sententia: neque vero ei tam bene sit, ut tuarum perturbationum habeat ille potestatem.

XVIII. Si quid proficere vis, ne recusa, quo minus ob res externas amens & fatuus habearis: Ne quid scire videri velis. Quod si quis aliis esse videaris: ipse tibi diffidito. Scito enim, facile non esse institutum tuum in eo statu, qui sit naturæ consentaneus, conservare, & res externas amplecti: sed aliter non posse fieri, quin is, alterum qui curet, alterum negligat.

XIX. Si in id studes, ut liberi tui, uxor, amici, perpetuo vivant & floreant, stultus es. Nam quæ in tua potestate non sunt, ea in potestate tua esse vis, & aliena esse tua. Sic etiam, si puerum peccare non vis, stultus es. Id enim postulas, ut vitium non sit vitium, sed quiddam aliud. At si eo, quod appetis, frustrari non vis: hoc quidem potes. Ergo quod potes, in usum voca.

XX Cujusque dominus is est, qui ea quæ ipse vult, aut non vult, potestatem habet vel conservandi, vel eripiendi. Quisquis igitur liber esse volet, neque cupiat quicquam, neque aversetur eorum quæ penes alios sunt. Sin minus, servire necesse erit.

XXI.

21. Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ δεῖ σε ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατὰ σέ; ἐκτείνας τὴν χεῖρα, κοσμίως μετάλαβε. παρέρχεται; μὴ κάτεχε. οὔπω ἥκει; μὴ ἐπίβαλε πόῤῥω τὴν ὄρεξιν, ἀλλὰ περίμενε, μέχρις ἂν γένηται κατά σε. οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχὰς, οὕτω πρὸς πλοῦτον· καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης· ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν, καὶ ἐλέγοντο.

22. Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε, μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ, τοῖς ἐκτός. ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγειν ἔστω πρόχειρον, ὅτι τοῦτον θλίβει οὐ τὸ συμβεβηκὸς, (ἄλλον γὰρ οὐ θλίβει) ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων. μέχρι μέντοι λόγου, μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, συνεπιστενάξαι· πρόσεχε μέντοι, μὴ καὶ ἔσωθεν συνεπιστενάξῃς.

23. Μέμνησο, ὅτι ὑποκριτὴς εἶ δράματος, οἷου ἂν θέλῃ ὁ διδάσκαλος. ἂν βραχὺ, βραχέος· ἂν μακρὸν, μακροῦ. Ἂν πτωχὸν ὑποκρίνασθαί σε δέῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑπο-

XXI. Memento, ſic in vita eſſe verſandum, tanquam in convivio. Si quid circumferendo ad te pervenerit: porrecta manu partem modeſte capito. Præterit? Ne detine. Nondum adeſt? Ne longe appetitum extendito: ſed expecta, dum ad te perlatum fuerit. Sic erga liberos, ſic erga conjugem, ſic erga magiſtratus, ſic erga divitias ſi affectus fueris, aliquando dignus eris convivio Deorum. At vero ſi oblata etiam non acceperis, ſed deſpexeris, non conviva Deorum modo, ſed & imperii, conſors eris. Sic enim cum facerent Diogenes, Heraclitus, & ſimiles, merito divini, ut erant, ita & dicebantur.

XXII. Cum ejulantem quempiam videris in luctu, ſive peregre profecto filio, ſive rebus amiſſis: cave ne te viſum illud moveat, ut exiſtimes verſari eum in malis ob externa: ſed ſtatim ipſe tecum diſtinguito, ſitque in promptu ut dicas: Iſtum affligit non caſus ille (alium enim non affligit) ſed concepta de eo opinio. Ac ratione quidem tua ejus perturbationi ſubſervire ne dubita; atque adeo, ſi res ita tulerit, congemiſcere. Cavebis autem, ne intrinſecus etiam congemiſcas.

XXIII. Actorem eſſe fabulæ, qualis magiſtro probata fuerit, te memento: ſi brevis, brevis; ſi longa, longæ. Si mendicum agere te voluerit, fac eam quoque perſonam ingenioſe repræſentes. Ita

ὑποκρίνῃ· ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτ' ἔστι τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτὸ, ἄλλου.

24. Κόραξ ὅταν μὴ αἴσιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία· ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε, ὅτι, τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησιδίῳ μου, ἢ τῷ δοξαρίῳ, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί· ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω. ὅ, τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοί ἐστιν, ὠφεληθῆναι ἀπ' αὐτοῦ.

25. Ἀνίκητος εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπί σοι νικῆσαι.

26. Ὅρα μήποτε ἰδών τινα προτιμώμενον, ἢ μεγαλοδυναμούμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς, ὑπὸ τῆς φαντασίας συναρπασθείς. ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε ὁ φθόνος, οὔτε ζηλοτυπία χώραν ἕξει· σὺ δὲ αὐτὸς οὐ στρατηγὸς, οὐ πρύτανις, ἢ ὕπατος εἶναι θελήσεις, ἀλλ' ἐλεύθερος. μία δὲ ὁδὸς πρὸς ταῦτα, καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν.

27. Μέμνησο, ὅτι οὐχ ὁ λοιδορῶν, ἢ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων, ὡς ὑβριζόντων. ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέθισε. τοιγαροῦν ἐν πρώτοις πειρῶ, ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι·

ἂν

si claudum, si principem, si plebejum. Hoc enim tuum est, datam personam bene effingere: eam autem eligere, alterius.

XXIV. Si corvus inauspicatum crocitarit, ne te visum illud moveat, sed ipse tecum divide statim, & dic: Nihil istorum mihi portenditur: sed aut corpusculo meo, aut reculæ meæ, aut existimationi, aut liberis, aut uxori: mihi autem fausta omnia portenduntur, si ego voluero. Quicquid enim istorum acciderit, ex eo, penes me est, fructum ut capiam.

XXV. Invictus esse potes, si in nullum certamen descendas, quod vincere tui arbitrii non est.

XXVI. Si quem eximiis honoribus affectum, aut ampla potestate præditum, aut alioqui florentem, videris; vide, ne quando beatum illum prædices, visorum impetum secutus. Nam si in rebus nostræ potestati subjectis vis tranquillitatis constiterit, nec invidia nec æmulatio locum habebit; tuque ipse non imperator, non senator, non consul esse voles, sed liber. Ad eam autem rem via unica est; eorum, quæ in potestate nostra non sunt, contemptio.

XXVII. Memento, non eum qui convicietur aut verberet, auctorem esse contumeliæ: sed opinionem de eis, tanquam contumeliosis, conceptam. Cum igitur te quispiam irritarit, opinione tua te irritatum esse scito. Quapropter imprimis operam dato, ne visa tibi assensum extorqueant.

ἂν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

28. Θάνατος, καὶ φυγὴ, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος. καὶ οὐδὲν οὐδέποτε ταπεινὸν ἐνθυμήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

29. Φιλοσοφίας ἐπιθυμεῖς; παρασκευάζου αὐτόθεν ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων, ὅτι ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ, πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; σὺ δὲ ὀφρὺν μὲν μὴ σχῇς· τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν τάξιν. μέμνησο δὲ, ὅτι ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου πρότερον, οὗτοί σε ὕστερον θαυμάσουσιν. ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

30. Ἐάν ποτέ σοι γένηται ἔξω στραφῆναι, πρὸς τὸ βούλεσθαι ἀρέσαι τινὶ, ἴσθι ὅτι ἀπώλεσας τὴν ἔνστασιν. ἀρκοῦ οὖν ἐν παντὶ, τῷ εἶναι φιλόσοφος· εἰ δὲ καὶ δοκεῖν βούλει, τῷ εἶναι σεαυτῷ φαίνου, καὶ ἱκανὸς ἔσῃ.

31 Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν, ἄτιμος ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. εἰ γὰρ ἀτιμία ἐστὶ κακὸν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον μᾶλλον ἢ ἐν αἰσχρῷ. Μή τι οὖν σὸν ἔργον ἐστὶ, τὸ ἀρχῆς τυχεῖν, ἢ παραληφθῆναι ἐφ' ἑστίασιν

Nam si semel tempus & moram impetraris, facilius ipse tibi imperabis.

XXVIII. Mors & exilium, & omnia, quæ in malis habentur, ob oculos tibi quotidie versentur: omnium verò maxime mors. Sic nihil unquam humile cogitabis, nec impense cupies quicquam.

XXIX. Sapientiæ studium suscipere cupis? Statim te para, quasi futurum sit, ut deridearis: ut multi te subsannent: ut dicant, te subito philosophum extitisse: ut rogent, unde supercilium istud? Tu autem supercilium ne habeto: ea vero quæ optima tibi videbuntur, sic teneto, quasi à Deo sis in ea statione collocatus. Cæterum memento, te, si in eodem statu permanseris, iis tandem admirationi fore, qui te prius deriserunt: Sin eis succubueris, dupliciter fore deridendum.

XXX. Si quando acciderit, ut foras promineas, & alicui placere cupias, te de statione tua dejectum esse scito. Quare in omnibus rebus illud tibi satis sit, te esse philosophum. Sin alicui etiam videri philosophus cupis; tibi videre, idque tibi satis esto.

XXXI. Istæ cogitationes ne te crucient, fore ut sine honore vivas, & nullo sis loco. Nam si honore carere malum est, nihilo magis per alium in malo esse potes, quam in vitio. Numquid igitur tui muneris est imperio potiri? aut ad convivium

 ad-

ἰσίασιν; οὐδαμῶς. πῶς οὖν ἔτι τοῦτ' ἔστιν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοί, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ; ἀλλά σοί οἱ φίλοι ἀβοήθητοι ἔσονται)· Τί λέγεις, τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρά σου ἀργύριον, οὐδὲ πολίτας Ῥωμαίων αὐτοὺς ποιήσεις; τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ μὴ ἔχει αὐτός; κτῆσαι οὖν, φασίν, ἵνα καὶ ἡμεῖς ἔχωμεν. εἰ δύναμαι κτήσασθαι, τηρῶν ἐμαυτὸν αἰδήμονα, καὶ πιστόν, καὶ μεγαλόφρονα, δείκνυτε τὴν ὁδόν, καὶ κτήσομαι· εἰ δ' ἐμὲ ἀξιοῦτε τὰ ἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι, ἵν' ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε ὑμεῖς, πῶς ἄνισοί ἐστε, καὶ ἀγνώμονες. τί δὲ καὶ βούλεσθε μᾶλλον, ἀργύριον, ἢ φίλον πιστὸν καὶ αἰδήμονα; εἰς τοῦτο οὖν μοι συλλαμβάνετε, καὶ μὴ δι' ὧν ἀποβαλῶ αὐτό, ταῦτά με πράττειν ἀξιοῦτε. ἀλλ' ἡ πατρίς, ὅσον ἐπ' ἐμοί, φησίν, ἀβοήθητος. πάλιν, ποίαν ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διὰ σέ; οὔτε βαλανεῖα; καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν χαλκέα, οὐδ' ὅπλα διὰ τὸν σκυτέα· ἱκανὸν δέ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφέλεις; ναί. οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ. τίνα οὖν, φησί, χώραν ἕξω ἐν τῇ πόλει;

adhiberi? Nequaquam. Quei igitur ea jam erit ignominia? quei nullo usquam loco eris? quem in iis solis aliquem esse oportet, quæ penes te sunt, in quibus vel summo loco esse potes? At nihil opis amicis feres. Quo pacto istud accipis? non argentum abs te habituri sunt? nec eos in Romanam civitatem asscribes? Et quis tibi dixit, ea penes nos esse, & non aliena munera? Quis vero id alteri præstet, quo ipse careat? Parato ergo, ajunt, ut & nos habeamus. Si parare queo, conservata verecundia, & fide, & animi magnitudine, vosque ejus rei viam ostenderitis, parabo. Sin id postulatis, ut bona ego mea perdam, quo vos ea, quæ in bonis non sunt, acquiratis: videte ipsi quam iniqui sitis, & temerarii. Utrum vero præoptatis? pecuniamne, an amicum verecundum & sincerum? Ad hoc igitur adjumento mihi este; non autem postulate, ut ea faciam, per quæ illa sim amissurus. At enim patriæ per me nihil affertur adjumenti. Cujusmodi quæso adjumentum? Porticus per te non habitura est? non balnea? Istuc vero quid est? neque enim calceos habet per fabrum ferrarium, neque arma per sutorem. Satis autem fuerit, suo quemque fungi munere. At si quem alium ei civem instrueres integrum & verecundum; nihilne eam juvares? imo vero. Proinde ne tu quidem patriæ fueris inutilis. Quem er-

go locum, inquis, habebo in urbe? Quem poteris, integritate & verecundia conservata. Sin illi profuturus, hæc abjeceris; quis ei tui fuerit usus? qui impudens & perfidus evaseris?

XXXII. Est tibi prælatus aliquis in convivio, aut salutatione, aut dandi consilii officio? Si quidem ista bona sunt, gratulari debes illi, cui ea contigerunt. Sin mala; ne doleas, te in ea non incidisse; sed memento, cum ea non agas, quibus illa parantur, quæ in nostra potestate non sunt, fieri non posse, ut eadem tibi tribuantur. Nam quei valebit tantum is, qui fores non frequentat, atque is qui frequentat? qui non affectatur, atque is, qui affectatur? qui non laudat, atque is, qui laudat? Injustus igitur eris, & inexplebilis, si non numerato eo pretio, quo illa væneunt, gratis ea consequi te postules. Age quanti væneunt lactucæ? Ponamus, obolo. Si quis igitur, obolo numerato, lactucas acceperit: tu autem, pretio non numerato, non acceperis; ne te deteriore conditione esse putes eo, qui accepit. Ut enim lactucas habet ille, sic tu obolum non dedesti. Ad eundem quoque modum & hic se res habet. Non invitatus es ad convivium alicujus? Nec dedisti quanti vænit convivium. Vendit autem id convivator laudatione, vendit obsequio. Dato igitur pretium, quanti venit, si e re tua est. Quod si nec

στος εἶ, καὶ ἀβέλτερος· οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν, τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες· τὸ μὴ ἀνασχέσθαι αὐτοῦ ἐπὶ τῆς εἰσόδου.

33. Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστιν, ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. οἷον, ὅταν τοῦ γείτονος παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρόν ἐστιν εὐθὺς λέγειν, ὅτι τῶν γινομένων ἐστίν. ἴσθι οὖν, ὅτι, ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον, ὅτε καὶ τὸ τοῦ ἄλλου κατεαγῇ. οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; οὐδείς ἐστιν, ὃς οὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινον· ἀλλ᾽ ὅταν τὸ αὐτοῦ τινὸς ἀποθάνῃ, εὐθὺς, Οἴμοι, τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν, περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

34. Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται· εἰ μὲν τὸ σῶμά σου ἐπέτρεπέ τις τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν· ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα, ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ; τούτου ἕνεκα ἐφ᾽ ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ᾽ αὐτό. εἰ δὲ μὴ, τὴν μὲν πρώτην προθύμως ἥξεις, μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δὲ, ἀναφανέντων τινῶν αἰσχρῶν, αἰσχυνθήσῃ.

36.

illa vis præstare, & hæc accipere: avarus es, & væcors. Nihil igitur cœnæ vice habes? Imo habes: non laudasti quem noluisti: non tolerasti ejus insolentiam in ingressu.

XXXIII. Naturæ propositum ex iis rebus, de quibus nulla inter nos controversia est, cognosci potest. Exempli gratia: Si vicini puer poculum aut quid aliud confregerit, in promtu illud statim est: Ita fieri solere. Scito igitur, si & tuum confractum fuerit, eundem esse te oportere, qui fueris, cum frangeretur alienum. Sic transfer ista ad majora. Filius alterius obiit, aut uxor? nemo est quin dicat, humanum id esse: Sin ipsi alicui id acciderit; statim, Hei mihi, inquit, ô me miserum! Meminisse autem oportebat, ut affecti simus, cum tale quippiam de aliis audiverimus.

XXXIV. Quemadmodum aberrandi causa meta non ponitur: sic nec mali natura in mundo existit. Quod si corpus quidem tuum aliquis obvio cuipiam permitteret, indignareris: Tu vero, qui animum tuum cuilibet permittas, ut, si convicia tibi dixerit, perturbetur & mœreat, non erubescis? Quamobrem, cujusque rei antecessionibus &, consecutionibus consideratis, sic eam aggredere. Alioqui primum alacriter eam suscipies, eorum nullo, quæ consequuntur, expenso: post autem, turpitudine aliqua exorta, verecundaberis.

XXXV.

35. Θέλεις Ὀλύμπια νικῆσαι; κἀγώ, νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν. ἀλλὰ σκόπει καὶ τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα. καὶ οὕτως ἅπτου τοῦ ἔργου· Δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν. Ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ· Εἶτα εἰς τὸν ἀγῶνα παρέρχεσθαι. Ἔστι δὲ ὅτε χεῖρα βλαβεῖν, σφυρὸν στρέψαι, πολλὴν ἀφὴν καταπιεῖν. ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ ταῦτα πάντα νικηθῆναι. Ταῦτα πάντα ἐπισκεψάμενος, ἐὰν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. εἰ δὲ μή, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ μονομάχους, εἶτα σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σὺ νῦν μὲν ἀθλητής, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ' ὡς πίθηκος, πᾶσαν θέαν, ἐὰν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπὶ τοὔργον, οὐδὲ περιοδεύσας· ἀλλ' εἰκῇ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν· οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος, ὡς εὖ Σωκράτης λέγει; καίτοι τίς οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος; θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν.

36. Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν

ἐστι

XXXV. Vis Olympia vincere? Et ego medius fidius: præclarum enim habetur. Sed considera, quid antecedere, quid sequi soleat: atque ita rem gerendam suscipito. Oportebit te conservare ordinem, vesci ingratiis, abstinere bellariis, exerceri necessario, & certo tempore, in æstu, in frigore: non frigidam bibere, non vinum, ut fieri solet. Ad summam, tanquam medico, sic lanistæ te tradas oportet: Deinde in certamen descendere: aliquando manum lædere: talum distorquere: multum pulveris deglutire: interdum flagris cædi: & vinci post hæc omnia. His omnibus consideratis, pugilum certamen suscipe, si lubet adhuc. Sin minus, ut pueri resilies: qui nunc pugiles ludunt, nunc tibicines, nunc gladiatores: jam tuba canunt, jam tragœdias repræsentant. Tu quoque sic, nunc pugil, mox gladiator, postea orator, demum philosophus, toto autem animo nihil: sed ut simius, quicquid spectaveris, imitabere, atque aliud ex alio adamabis. Nec enim suscepta cogitatione quicquam es aggressus, aut explorasti prius: sed temere appetitus levitatem secutus. Sic aliqui, philosopho spectato, & audito aliquo dicente sic: Quam recte dicit Socrates! vel sic: Quis ita differere potest ut ille? ipsi etiam philosophari volunt.

XXXVI. Homo, primum considera, cujusmo-

di

ἐστι τὸ πρᾶγμα. εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφῦν κατάμαθε. Ἄλλο γὰρ πρὸς ἄλλο πέφυκε. Δοκεῖς, ὅτι ταῦτα ποιῶν ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως δυσαρεστεῖν; ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί· ταῦτα ἐπίσκεψαι. εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν· εἰ δὲ μή, πρόσεχε, μή, ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης; εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος Καίσαρος γένῃ. ταῦτα οὐ συμφωνεῖ· ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθὸν, ἢ κακὸν εἶναι· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ ἐπὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ τὰ ἔξω· τουτέστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

37. Τὰ καθήκοντα σχέσεσι παραμετρεῖται. Πατήρ ἐστιν; ὑπαγορεύεται ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος. Ἀλλὰ πατὴρ κακός ἐστι. Μή τι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ὠκειώθης; οὔκ, ἀλλὰ πρὸς πατέρα. ὁ ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν τὴν τάξιν τὴν σεαυτοῦ πρὸς αὐτόν, μηδὲ σκόπει τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοι ποιήσαντι κατὰ φύσιν ἡ σὴ

ἕξει

di sit res. Deinde, natura quoque tua eamne ferre queat, explora. Quinquercio esse vis, aut palæstrita? Brachia tua intuere; femora & lumbos considera. Nam aliud alio natura pertinet. Putasne, te, hæc aggressum, æque posse edere, æque bibere, æque fastidire? Vigilandum est, laborandum, à tuis recedendum; à puero contemni, in omnibus deteriori conditione esse, in honore, in magistratu, in judicio, in negotio quolibet, oportebit. Hæc considera; tecumque statue, an his rebus redimere velis animi tranquillitatem, libertatem, constantiam. Sin minus; vide ne, ut pueri, nunc philosophus, mox publicanus, post orator, denique Cæsaris procurator fias. Ista non consentiunt: unum te oportet hominem, eumque vel bonum vel malum esse: aut exercenda tibi ratio & mens est, aut res externæ excolendæ: aut in internis elaborandum, aut in externis: hoc est, aut philosophi tuendus locus, aut hominis plebeji.

XXXVII. Omnia officia in universum mutuis affectionibus sunt metienda. Pater est? præcipitur, curam ejus agendam, cedendum ei in omnibus; si convicietur, si verberet, ferendum esse. At pater malus est. Numquid igitur natura cum bono patre conjunctus es? Non, sed cum patre. Frater te lædit? Tu igitur munus tuum erga ipsum tuere: nec, quid ille agat, considera; sed, quibus rebus agendis tuum institutum naturæ futurum

sit

ἕξει προαίρεσις. σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς. τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις, ἐὰν τὰς σχέσεις ἐθίζῃς θεωρεῖν.

38. Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν· ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὔτε μέμψῃ ποτὲ τοῖς θεοῖς, οὔτε ἐγκαλέσεις, ὡς ἀμελούμενος. ἄλλως τε οὐχ οἷόν τε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἀποστῇς τῶν οὐκ ἐφ' ἡμῖν, καὶ ἐν τοῖς ἐφ' ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν καὶ τὸ κακόν· ὡς ἄν γέ τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακὸν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς, ὧν θέλῃς, καὶ περιπίπτῃς οἷς μὴ θέλῃς, μέμψασθαί σε καὶ μισεῖν τοὺς αἰτίους· πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῶον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσθαι, τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια μετιέναι καὶ τεθηπέναι. ἀμήχανον οὖν, βλάπτεσθαί τινα οἰόμενον, χαίρειν τῷ δοκοῦντι βλάπτειν· ὅθεν καὶ τὸ τῇ βλάβῃ χαίρειν ἀδύνατον. ὅθεν καὶ πατὴρ ὑπὸ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι τῷ

παιδὶ

sit consentaneum. Te enim alius non lædet, nisi ipse velis. Tum autem læsus eris, cum te lædi existimaris. Sic igitur vicini, sic civis, sic imperatoris officium invenies, si mutuas affectiones spectare consueveris.

XXXVIII. Religionis erga deos immortales præcipuum illud esse scito, rectas de eis habere opiniones: ut sentias, & esse eos, & bene justeque administrare universa: parendum esse eis, & omnibus iis, quæ fiant, acquiescendum: & sequenda ultro, ut quæ à mente præstantissima regantur. Sic enim nec incusabis eos unquam, nec ab eis negligi te conquereris. Aliter autem id fieri nequit, quam si iis, quæ in potestate nostra non sunt, relictis, tam bona quam mala in iis, quæ in nobis sita sunt, collocaris. Nam si quid illorum senseris esse bonum aut malum, aliter certe fieri non poterit, quin, cum iis frustratus fueris, quæ velles, & in ea, quæ nolles, incideris, & culpes & oderis illarum rerum auctores. Illud enim natura est insitum omni animantium generi, ut ea quæ nocitura videantur, eorumque causas fugiant & aversentur: contra utilia, & causas eorum, persequantur & admirentur. Nulla igitur ratio est, ut hic, qui noceri sibi putat, eo lætetur, quod nocere videatur: unde etiam, ipso damno ut gaudeat, fieri nequit. Hinc fit, ut & patri filius convicietur, cum ea, quæ in bonis habentur, filio

παιδὶ μὴ μεταδιδῷ· καὶ Πολυνείκην καὶ Ἐτεοκλέα τοῦτο πολεμίους ἀλλήλοις ἐποίησε, τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. διὰ τοῦτο ὁ γεωργὸς λοιδορεῖ τοὺς θεοὺς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. Ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές· Ὥστε ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ τοῦ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ τῆς εὐσεβείας ἐπιμελεῖται. σπένδειν δὲ, καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια, ἑκάστοις προσήκει, καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς, μηδὲ γλίσχρως, μηδὲ ὑπὲρ δύναμιν.

39. Ὅταν μαντικῇ προσίῃς, μέμνησο, ὅτι μὲν, ὡς ἀποβήσεται, οὐκ οἶδας, ἀλλὰ ἥκεις ὡς ἀπὸ τοῦ μάντεως ἀποπευσόμενος. Ὁποῖον δέ τι ἐστὶν, ἐλήλυθας εἰδὼς, εἴπερ εἶ φιλόσοφος. εἰ γάρ ἐστί τι τῶν οὐκ ἐφ' ἡμῖν, πᾶσα ἀνάγκη μήτε ἀγαθὸν αὐτὸ εἶναι, μήτε κακόν. μὴ φέρε οὖν πρὸς τὸν μάντιν ὄρεξιν ἢ ἔκκλισιν· εἰ δὲ μὴ, τρέμων αὐτῷ πρόσει. ἀλλὰ διεγνωκὼς, ὅτι πᾶν τὸ ἀποβησόμενον ἀδιάφορον, καὶ οὐδὲν πρός σε. ὁποῖον δ' ἂν ᾖ, (ἔσται γὰρ αὐτῷ χρήσασθαι καλῶς,) καὶ τοῦτο οὐδεὶς κωλύσει. Θαῤῥῶν οὖν, ὡς ἐπὶ συμβούλους ἔρχου τοὺς θεούς. καὶ λοιπὸν, ὅταν τι συμβουλευθῇ, μέμνησο, τίνας συμβούλους παρέλαβες, καὶ τίνων παρακούσης ἀπειθήσεις. ἔρχου δὲ ἐπὶ τὸ μαντεύεσθαι

non impertierit: & illud est quod inter Eteoclem & Polynicem bellum concitavit, quod bonum existimabant imperium. Hac de causa Deos execratur agricola, ob hoc nauta, ob hoc mercator, ob hoc ii, qui liberos & uxores amittunt. Nam ubi utilitas, ibi etiam est pietas. Quamobrem qui id dat operam, ut sic & appetat & aversetur, quemadmodum decet; is eadem opera & pietati dat operam. Libandum autem & sacrificandum, & offerendæ primitiæ sunt unicuique, ritu patrio, caste, non luxuriose, nec indiligenter, nec sordide, nec supra facultates.

XXXIX. Ad vatem accessurus, memento, te negotii eventum ignorare; sed ea de causa adesse, ut eum è vate cognoscas. Quale autem id esset, utique, cum venires, scivisti, siquidem philosophus fueris. Nam si ex eorum numero fuerit, quæ in nostra potestate non sunt: nec bonum esse, neque malum, omnino est necesse. Noli igitur ad vatem afferre vel appetitionem, vel aversationem: alioqui tremens eum accedes. Sed illud constitutum esse oportet, nihil inter quemvis eventum interesse: neque ad te attinere eum, cujuscunque modi sit: licere enim eo recte uti; neque in eo tibi fore quempiam impedimento. Magno igitur animo deos, ut consiliarios, accedito. Deinde, si quid consilii datum fuerit, memento, quos in consilium adhibueris: & quorum, nisi parueris, auctoritatem sis neglecturus. Sic autem ad oracu-

τεύσασθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ' ὧν ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔχει· καὶ οὔτε ἐκ λόγου, οὔτε ἐκ τέχνης τινὸς ἄλλης, ἀφορμαὶ δίδονται πρὸς τὸ συνιδεῖν τὸ προκείμενον. Ὥστε ὅταν δέῃ συγκινδυνεῦσαι φίλῳ, ἢ πατρίδι, μὴ μαντεύσασθαι, εἰ συγκινδυνευτέον. καὶ γὰρ ἂν προείπῃ σοι ὁ μάντις, φαῦλα γεγονέναι τὰ ἱερὰ, δῆλον ὅτι ὁ θάνατος σημαίνεται, ἢ πήρωσις μέρους τοῦ σώματος, ἢ φυγή. ἀλλ' ἐνὶ λόγος, καὶ σὺν τούτοις παρεῖναι τῷ φίλῳ καὶ πατρίδι συγκινδυνεύειν. τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε τῷ Πυθίῳ, ὃς ἐξέβαλε τοῦ ναοῦ τὸν οὐ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ.

40. Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ, καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων.

41. Καὶ σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα. καὶ δι' ὀλίγων. σπανίως δέ ποτε, καιροῦ παρακαλοῦντος, ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων, μὴ περὶ μονομάχων, μηδὲ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων τῶν ἑκασταχοῦ λεγομένων· μάλιστα δὲ, μὴ περὶ ἀνθρώπων λέγοντες, ἢ ἐπαινοῦντες, ἢ συγκρίνοντες.

42. Ἂν μὲν οὖν οἷός τε ᾖς, μέταγε τοῖς σοῖς λόγοις τοὺς τῶν συνόντων ἐπὶ τὸ πρέπον.

lum accipiendum accedito, quemadmodum Socrati placebat; iis videlicet de rebus, quarum tota consideratio refertur ad eventum, & in quibus nec ex ratione, nec ex arte alia suppetunt occasiones, ad id quod præpositum est, considerandum. Cum igitur vel amicus, vel patria cum periculo defendenda erit; noli consulere vatem, sintne defendendi? Nam si tibi vates prædixerit, exta infausta esse: mortem significari constat, aut alicujus membri truncationem, aut exilium. Sed ratio tamen subest, & cum his illud etiam conjungitur: una cum amico & patria periculum esse adenndum. Quamobrem ad majorem venito vatem Pythium: qui templo ejecit eum, qui amico in vitæ periculo non succurrisset.

XL. Præscribe jam tibi formam quandam, & legem, quam custodias: quamque & ipse tecum, & in congressibus hominum observes.

XLI. Ac majori quidem ex parte silentium præstetur: aut necessaria dicantur, eaque paucis. Raro autem, cum se obtulerit occasio, ad dicendum veniemus: sed non quidvis dicemus: non de gladiatoribus, non de ludis Circensibus, non de pugilibus, non de cibis aut potionibus; quæ res passim inculcantur. In primis autem de hominibus cum verba fiunt, ne eos vel laudemus, vel comparemus, caveatur.

XLII. Quod si potes, familiarium tuorum sermones tuis sermonibus eo, quo decet, traduci-

εἰ δὲ ἐν ἀλλοφύλοις ἀπολήφθεὶς τύχοις, σιώπα.

43. Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος.

44. Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μὴ, ἐκ τῶν ἐνόντων.

45. Ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς διακρόυε· ἐὰν δέ ποτε γίνηται καιρὸς, ἐντετάσθω σοι ἡ προσοχὴ, μήποτε ἄρα ὑπορρυῇς εἰς ἰδιωτισμόν. Ἴσθι γὰρ, ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συνανατριβόμενον αὐτῷ μολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

46. Τὰ περὶ τὸ σῶμα μέχρι τῆς χρείας ψυχῆς παραλαμβάνειν, οἷον τροφὰς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν· τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε.

47. Περὶ ἀφροδίσια εἰς δύναμιν πρὸ γάμου καθαρευτέον· ἁπτομένῳ δὲ, ὡς νόμιμόν ἐστι, μεταληπτέον. μὴ μέν τοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ τὸ, ὅτι αὐτὸς οὐ χρῇ, παράφερε.

48. Ἐάν τις σοὶ ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου, ὅτι ἠγνόει γὰρ τὰ ἄλλα προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

49. Εἰς τὰ θέατρα τὸ πολὺ παριέναι, οὐκ ἀναγκαῖον· εἰ δέ ποτε καιρὸς εἴη, μηδε-

to. Sin à peregrinis circumventus fueris, taceto.

XLIII. Risus ne sit multus, nec ob multa, nec effusus.

XLIV. Jusjurandum recusa, si fieri potest, omnino: sin minus, quantum potest.

XLV. Convivia externa & popularia devita: Sed si quando tulerit occasio, animadversio excitetur, ne forte in vulgarem consuetudinem prolabaris. Scito enim, si sodalis pollutus fuerit, eum etiam, quem is attigerit, necessario pollui, etsi purus ipse fuerit.

XLVI. Quæ corpori serviunt, eatenus adhibeantur, quatenus animo sunt usui: veluti cibi, potus, amictus, ædes, servitium. Quicquid autem ad ostentationem aut delicias attinet, repudiato.

XLVII. A re venerea, quantum fieri potest, ante nuptias purus esto: Sin attigeris, ea legitimè utendum. Ne tamen iniquus sis iis, qui illa utuntur, neque eos arguas: neque passim jactes, te ea non uti.

XLVIII. Si quis nunciarit, quendam tibi male dicere: ne refuta quæ dicta sunt, sed responde, Eum nescisse cætera tua vitia, nam alioqui non illa sola fuisse dicturum.

XLIX. Theatra frequentare non est necesse: sed si quando tempus tulerit, te nulli nisi tibi ipsi

νὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τουτέστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾶν μόνον τὸν νικῶντα· οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. βοῆς δὲ καὶ τοῦ ἐπιγελᾶν τινι, ἢ ἐπιπολὺ ἐπικινεῖσθαι, παντελῶς ἀπέχου· καὶ μετὰ τὸ ἀπαλλαγῆναι, μὴ πολλὰ περὶ τῶν γινομένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν. ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου, ὅτι ἐθαύμασας τὴν θέαν.

50. Εἰς ἀκροάσεις τινῶν μὴ ἧκε, μηδὲ ῥᾳδίως πάρεθι· Παρὼν δὲ τὸ σεμνὸν καὶ εὐσταθὲς, καὶ ἅμα ἀνεπαχθὲς, φύλασσε.

51. Ὅταν τινὶ μέλλεις συμβάλλειν, καὶ μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σεαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων, καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

52. Ὅταν φοιτᾷς πρός τινα τῶν μέγα δυναμένων, πρόβαλλε, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀπεκλείσθη, ὅτι ἐκτιναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου· κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς σεαυτὸν, ὅτι οὐκ ἦν τοσούτου· ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένου πρὸς τὰ ἐκτός.

53. Ἐν ταῖς ὁμιλίαις ἀπέστω τὸ τινὰ τῶν ἑαυτοῦ ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι· οὐ γὰρ ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων

δύνων

ſtudere appareat, hoc eſt, ea duntaxat fieri velis, quæ fiunt: & eum ſolum vincere, qui vincit. Sic enim non impedieris. Clamore autem, aut irriſione, aut longiore commotione, penitus abſtineto. Ac poſt diſceſſum, ne multum de iis, quæ acciderant, diſputa, cum nihil ad tui correctionem faciant. Alioqui ex hoc apparebit, te ſpectaculum eſſe admiratum.

L. Ad recitationes ne veni, neque facile accede. Sin acceſſeris, gravitatem & conſtantiam tuere: & id una cave, ne cui ſis moleſtus.

LI. Cum aliquid negotii tibi futurum eſt cum aliquo, ex proceribus præſertim, ipſe tibi proponito, quid in ea re facturus fuiſſet Socrates, aut Zenon. Ita fiet, ut te ratio non deficiat, qua id, quod objectum fuerit, rite adminiſtres.

LII. Cum ad magnatum aliquem iturus es, proponito tibi, fore ut eum domi non invenias, ut incluſus ſit, ut occludantur tibi fores, ut ille te negligat. Quod ſi hoc rerum ſtatu venire decuerit, ea feras, quæ fiunt: neque ipſe unquam tecum dicas, non fuiſſe tanti. Id enim plebejum eſt, & ejus qui res externas calumnietur.

LIII. In familiaribus congreſſibus abſit facinorum aut periculorum tuorum prolixa & immodica commemoratio. Nec enim, ut tibi jucundum eſt

tuorum certaminum meminisse, sic & aliis suave est, ea quæ tibi acciderunt, audire.

LIV. Absit illud etiam, ne risum moveas. Nam is ejusmodi locus est, è quo proclivis fit in plebejum morem lapsus: eamque vim habet, ut tui observantiam facile apud familiares diminuat.

LV. Periculosum est etiam, ad orationis obcœnitatem progredi. Cum igitur tale quippiam acciderit: aut (si feret opportunitas) objurgabis eum, qui sermonem illum injecerit: aut taciturnitate saltem, & rubore vultuque ostendes, eam orationem tibi displicuisse.

LVI. Si voluptatis alicujus imaginem animo conceperis, moderare tibi, ne ab ea movearis: sed & rem examina, & tibi ipse deliberandi præbe spatium. Deinde utriusque temporis memento, tum ejus quo voluptate perfrueris, tum ejus quo percepta jam voluptate dolebis, teque ipse objurgabis. Atque his illa confer; si abstinueris, fore ut gaudeas, teque ipse collaudes. Quod si tibi suscipiendæ rei videbitur esse tempus, cave ne vincant ejus blandiciæ, & suavitates, & illecebræ: sed illud oppone, quanto præstantior sit talis victoriæ conscientia.

LVII. Cum facis aliquid, quod faciendum esse statuisti, nunquam recuses inter id agendum conspici: tametsi futurum est, ut vulgus de eo secus judicet. Nam si perperam facis; rem ipsam fuge:

sin

αὐτὸ ἔργον φεῦγε· εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήσσοντας οὐκ ὀρθῶς;

58. Ὡς τὸ, Ἡμέρα ἐστὶ, καὶ Νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ συμπεπλεγμένον ἢ συνημμένον ἀπαξίαν· οὕτω καὶ τῶν παρακειμένων τὰ μείζονα ἐλεῖν, πρὸς μὲν τὸ σῶμα μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ κοινὸν ἐν ἑστιάσει, οἷον δεῖ μὴ φυλάξαι, ἀπαξίαν ἔχει· ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο, οὐ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾶν, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα, οἵαν δεῖ φυλαχθῆναι.

59. Ἂν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ ὃ ἠδύνασο ἐκπληρῶσαι, παρέλιπες.

60. Ἐν τῷ περιπατεῖν, καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα, οὕτω πρόσεχε, μὴ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. καὶ τοῦτ' ἂν ἐφ' ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἁψόμεθα τοῦ ἔργου.

61. Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ πούς ὑποδήματος. ἐὰν μὲν οὖν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον· ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη σε φέρεσθαι. καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται καταχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν. τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐδείς ἐστιν.

62,

sin recte, quid eos vereris qui non recte reprehendunt?

LVIII. Ut hoc pronuntiatum Dies est, &, Nox est, magnam habet in sejunctione vim, in conjunctione vero prorsus nihil valet: sic maxima quæque ex iis quæ apposita sunt, arripere, ut respectu corporis magni est momenti: ita, si communitas convivii spectetur, magnum habebit, nisi caveris, dedecus. Cum igitur conviva es alicujus; memento, non solum eorum quæ apposita sunt pretium, quod ad corpus attinet, considerandum esse: sed & eam, quæ convivatori debetur, reverentiam esse conservandam.

LIX. Si quam personam, quæ vires tuas superat, indueris, cum eam indecore geres, tum eam, quam sustinere posses, negliges.

LX. Quemadmodum in ambulando caves, ne clavum calces, pedemve distorqueas: sic in degenda vita cave, ne gubernatricem actionum, mentem tuam, lædas. Quod si in re unaquaque observabimus, omnia cautius aggrediemur.

LXI. Modus pecuniæ corpus est unicuique, ut calcei pes. Si igitur in eo institeris, modum servabis: sin præterieris, jam veluti per præceps te ferri necesse erit. Ut & in calceo: si ultra pedem progressus fueris, fit auratus calceus, deinde purpureus, deinde interpunctus. Ejus enim, quod semel transierit modum, nullus est terminus.

62. Αἱ γυναῖκες εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν κυρίαι καλοῦνται. Τοιγαροῦν ὁρῶσαι, ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμῶνται τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέχειν οὖν ἄξιον, ἵνα αἴσθωνται, διότι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι, καὶ αἰδήμονες, ἐν σωφροσύνῃ.

63. Ἀφυΐας σημεῖον τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα. οἷον ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν· ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον· περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή.

64. Ὅταν τίς σε κακῶς τι ποιῇ ἢ κακῶς σε λέγῃ, μέμνησο, ὅτι, καθήκειν αὐτῷ οἰόμενος, ποιεῖ, ἢ λέγει. οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοι φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. ὥστε εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται, ὅς τις καὶ ἐξηπάτηται. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. ἀπὸ τούτων οὖν ὁρμώμενος, πρᾴως ἕξεις πρὸς τὸν λοιδοροῦντα. ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστῳ, ὅτι Ἔδοξεν αὐτῷ.

65. Πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητὴν, τὴν δὲ ἀφόρητον. ὁ οὖν ἀδελφός ἐὰν ἀδικῇ,

LXII. Mulieres ſtatim ab anno decimoquarto à viris dominæ vocantur. Proinde cum vident, ſe nihil aliud habere muneris, niſi ut cum viris concumbant, comere ſe incipiunt, atque in ornatu ſpem collocant omnem. Quare operæ pretium eſt dare operam, ut ſentiant, ſibi non ob aliud honorem haberi, niſi quod & modeſtas ſe præbeant, & verecundas, cum temperantia.

LXIII. Hebetis ingenii ſignum eſt, in rebus corporis immorari: velut exerceri diu, edere diu, potare diu, cacare diu, coire diu. Nam hæc quidem facienda ſunt obiter: cura autem omnis ad animum eſt transferenda.

LXIV. Cum tibi quiſpiam vel malefecerit, vel maledixerit: memento, eum opinatum eſſe, id ex officio ſibi fuiſſe faciendum, & dicendum. Neque vero fieri poteſt, ut id ſequatur ille, quod tibi videtur, ſed id quod ſibi. Quod ſi male judicat, is damnum facit qui decipitur. Nam involutam veritatem ſi quis mendacium judicet, non ea involuta læditur, ſed ille qui deceptus fuerit. Sic igitur inſtructus, æquo feres animo conviciatorem. Nam ad ſingula dices, Ita viſum eſſe illi.

LXV. Unaquæque res duas habet anſas; unam tolerabilem, alteram intolerabilem. Ergo, ſi frater

in

ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λαμβάνης, ὅτι ἀδικεῖ· αὕτη γὰρ λαβή ἐστιν αὐτοῦ οὐ φορητή· ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι σύντροφος· καὶ λήψῃ αὐτὸ, καθ' ὃ φορητόν ἐστιν.

66. Οὗτοι οἱ λόγοι ἀσύνακτοι· Ἐγώ σου πλουσιώτερός εἰμι, ἐγώ σου ἄρα κρείσσων· ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείσσων. ἐκεῖνοι δὲ μᾶλλον συνακτοί· Ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων· ἐγὼ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων. σὺ δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις.

67. Λούεταί τις ταχέως; μὴ εἴπης, ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. πίνει τις πολὺν οἶνον; μὴ εἴπης ὅτι κακῶς, ἀλλ' ὅτι πολύν. πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶδα, εἰ κακῶς; οὕτως οὐ συμβήσεταί σοι, ἄλλας μὲν φαντασίας καταληπτικὰς καταλαμβάνειν, ἄλλαις δὲ συγκατατίθεσθαι.

68. Μηδαμοῦ σαυτὸν εἴποις φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· οἷον ἐν συμποσίῳ μὴ λέγε, πῶς δεῖ ἐσθίειν· ἀλλὰ ἔσθιε ὡς δεῖ. μέμνησο γὰρ, ὅτι οὕτως ἀφῃρήκει πανταχόθεν καὶ Σωκράτης τὸ ἐπιδεικτικόν. ἤρχοντο πρὸς αὐτὸν, βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι· κἀκεῖνος ἀπῆγεν αὐτούς. οὕτως ἠνείχετο παρορώμενος.

69. Ὥστε κἂν περὶ θεωρήματός τινος ἐν

ἰδιώ-

injuriam fecerit, non ea prehende, qua facit injuriam: ea enim ejus ansa non est tolerabilis. Sed illinc potius: esse fratrem, esse una educatum. Sic prehendes rem, qua est tolerabilis.

LXVI. Orationes hæ non cohærent: Ego sum te locupletior, ergo sum te melior: Ego sum te eloquentior, ergo sum te melior. At illæ magis cohærent: Ego sum te ditior, mea ergo pecunia tuæ præstat: Ego sum te eloquentior, mea ergo dictio tuæ præstat. Tu vero nec pecunia es, nec dictio.

LXVII. Lavat quispiam cito: ne dicas lavisse male, sed cito. Bibit quispiam multum vini: ne dicas bibisse male, sed multum. Priusquam enim id decretum dijudicaris, unde scis an male? Sic usu tibi veniet, ut alia visa certo comprehensa habeas, aliis assentiaris.

LXVIII. Nusquam te philosophum profitearis: nec apud imperitos multum disputes de præceptis: velut in convivio, ne dic, quo pacto sit edendum, sed ede, ut decet: ac memento, etiam Socratem sic undecunque sustulisse ostentationem. Conveniebatur ab illis, qui se ab eo commendari vellent philosophis: atque ipse abducebat eos. Adeo leniter ferebat neglectum sui.

LXIX. Itaque si apud imperitos de præcepto

 ali-

ἰδιώταις ἐμπίπλῃ λόγος, σιώπα τὸ πολύ· μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι ὃ οὐκ ἔπεψας. καὶ ὅταν εἴπῃ σοι τὶς, ὅτι οὐδὲν οἶδας, καὶ σὺ μὴ δηχθῇς, τότ' ἴσθι, ὅτι ἄρχῃ τοῦ ἔργου· ἐπεὶ καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν· ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔριον ἔξω φέρει, καὶ γάλα. καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπὸ τούτων πεφθέντων τὰ ἔργα.

70. Ὅταν εὐτελῶς ἡρμοσμένος ἦς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ. μηδ' ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε, ὅτι ὕδωρ πίνεις. κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλεις, σεαυτῷ, καὶ μὴ τοῖς ἔξω, μὴ τοὺς ἀνδριάντας περιλάμβανε, ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

71. Ἰδιώτου στάσις καὶ χαρακτὴρ· οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις καὶ χαρακτὴρ, πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

72. Σημεῖα προκόπτοντος· οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ λέγει, ὡς ὄντος τινὸς, ἢ εἰδότος τι. ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ· κἄν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ. κἂν ψέ-

aliquo sermo inciderit: maxima ex parte taceto. Magni enim periculi est, statim evomere, quod non concoxeris. Quod si quis dixerit, te nihil scire, tuque commotus non fueris: tum scito, rem esse inchoatam. Nam & oves non fœnum opilionibus afferunt, neque demonstrant quantum comederint: sed pastu intra se concocto, extra ferunt lanam & lac. Et tu igitur ne præcepta ostendas imperitis, sed opera, quæ præceptorum concoctionem sequuntur.

LXX. Si corpus frugaliter curare didicisti, ne ob id tibi placeas: nec, si aquam potas, ad quamvis occasionem te potare aquam dictita. Quod si quando ad laborem te vis exercere, in tuum, non in exterorum usum, ne statuas amplectere: sed si quando vehementer sitieris, frigidam haustam exspuito, ac nemini dicito.

LXXI. Plebeji status & nota est, nunquam à se ipso vel damnum expectare, vel utilitatem: sed à rebus externis. Philosophi status & expressa imago est, omnem utilitatem & damnum à semet ipso expectare.

LXXII. Signa proficientis sunt, neminem reprehendere, neminem laudare, neminem culpare, neminem accusare: nihil de se ipso prædicare, quasi aliquis sit, aut aliquid sciat. Cum in aliqua re impeditus fuerit, aut prohibitus; se ipsum accusat. Si ab aliquo laudatur; secum ipse deridet lau-

ψέγῃ, οὐκ ἀπολογεῖται· περίεισι δὲ, καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων πρὶν πῆξιν λαβεῖν. ὄρεξιν ἅπασαν ἦρκεν ἀφ᾽ ἑαυτοῦ· τὴν δ᾽ ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ᾽ ἡμῖν μετατέθεικεν. ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται. ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν· ἑνί τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει, καὶ ἐπίβουλον.

73. Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου βιβλία σεμνύνηται, λέγε αὐτὸς πρὸς σαυτὸν, ὅτι εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος, ἐφ᾽ ᾧ σεμνύνηται. ἐγὼ δὲ τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. ζητῶ οὖν, τίς ἐστιν ὁ ἐξηγούμενος· καὶ ἀκούσας ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. ἀλλ᾽ οὐ νοῶ τὰ γεγραμμένα. ζητῶ οὖν τὸν ἐξηγούμενον καὶ μέχρι τούτου οὔπω σεμνὸν οὐδέν. ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παρηγγελμένοις· τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. ἂν δὲ αὐτὸ τοῦτο τὸ ἐξηγεῖσθαι θαυμάσω, τί ἄλλο ἢ γραμματικὸς ἀπετελέσθην ἀντὶ φιλοσόφου; πλήν γε δὴ, ὅτι ἀντὶ Ὁμήρου Χρύσιππον ἐξηγούμενος. μᾶλλον οὖν, ὅταν τις εἴπῃ μοι, ἐπανάγνωθί μοι Χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις.

74 Ὅσα

datorem: si reprehenditur, non defendit se: sed ritu infirmorum circuit, metuens ne statum illum convellat, priusquam is confirmetur. Omne desiderium à se dependens habet: aversationem ad ea sola, quæ naturæ eorum repugnant quæ nobis parent, transtulit. Appetitione ad omnia remissa utitur. Sive stolidus sive indoctus habeatur, non curat. Denique, ut inimicum & insidiatorem, se ipsum observat.

LXXIII. Si quis intelligentia & explicandi facultate librorum Chrysippi gloriatur, ipse tibi dic: Nisi obscure scripsisset Chrysippus, nihil haberet ille quo gloriaretur. Ego vero quid cognoscere studeo? Naturam; & hanc sequi. Quæro igitur, quis sit ejus interpres? Cum audiero Chrysippum esse, eum convenio. At scripta non intelligo. Quæro igitur enarratorem. Ac hactenus quidem nihil præclari. Cum autem enarratorem invenero, reliquum est, uti præceptis; id quod solum præclarum est. Sin ipsam enarrationem admiratus fuero, quid aliud nisi Grammaticus philosophi loco evasi? eo duntaxat excepto, quod pro Homero Chrysippum enarro. Magis igitur, cum quis à me petierit, prælegi sibi Chrysippum, erubesco: cum facta nequeo similia verbis & consentanea præstare.

74. Ὅσα προτίθεται, τούτοις ὡς νόμοις, καὶ ὡς ἀσεβήσων, ἂν παραβῇς τι τούτων, ἔμμενε. ὅ, τι δ' ἂν ἐρῇ τις περί σου, μὴ ἐπιστρέφου· τοῦτο γὰρ οὐκ ἔτ' ἐστὶ σόν·

75. Εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ, τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτόν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμβάλλειν, καὶ συμβέβληκας. ποῖον ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇς τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος· ἂν τοίνυν ἀμελήσῃς, καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ ὑπερθέσεις ἐξ ὑπερθέσεων ποιῇς, προθέσεις ἐκ προθέσεων, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃς, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων. ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα, καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος· κἂν ἐπίπονόν τι, ἢ ἡδύ, ἢ ἔνδοξον, ἢ ἄδοξον προσάγηται, μέμνησο, ὅτι νῦν ὁ ἀγών, καὶ ἤδη πάρεστι τὰ Ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι, καὶ ὅτι παρὰ μίαν ἧτταν καὶ ἔνδοσιν ἢ ἀπόλλυται προκοπή, ἢ σώζεται· Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων προσάγων ἑαυτόν, μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. σὺ δὲ εἰ καὶ μήπω εἶ Σωκράτης,

ὡς

LXXIV. Propofita hæc obferva tanquam leges, iifque citra piaculum non violandis immorare. Quicquid autem de te dictum fuerit, id ne curato. Id enim non jam tui eft arbitrii.

LXXV. Quoufque tandem differes præftantiffima quæque tibi vendicare, & nullatenus diftinctionem rationis violare? Accepifti præcepta, quæ amplectenda tibi fuerunt, eaque amplexus es. Qualem igitur adhuc doctorem exfpectas, cujus in adventum tui correctionem differas? Non jam adolefcens es, fed matura ætate vir. Itaque fi neglexeris & ceffaris, ac fubinde moræ moram, propofito propofitum adjunxeris, & dies alios poft alios conftitueris; non animadvertes, nihil te profeciffe, fed hominem plebejum fore tam viventem quam morientem. Nunc igitur viri perfecti & proficientis vitam tibi fume: ac quicquid tibi vifum fuerit optimum, ea lex fit inviolabilis. Ac fi quid laboriofum, aut fuave, aut gloriofum, aut ignominiofum ingruerit; memento, tum adeffe difcrimen, tum inftare Olympia, nec licere differre: ac profectum una clade ac remiffione vel perire, vel retineri. Itaque Socrates in eum evafit, qui fuit; cum in omnibus fe ipfe promoveret, cum nemini aufcultaret nifi Rationi. Tu

ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὠφείλεις βιοῦν.

76. Πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐν φιλοσοφίᾳ, ὁ τῆς χρήσεως τῶν θεωρημάτων· οἷον, ὁ τοῦ μὴ ψεύδεσθαι. δεύτερος, ὁ τῶν ἀποδείξεων· οἷον, πόθεν ὅτι οὐ δεῖ ψεύδεσθαι. τρίτος, ὁ αὐτῶν τούτων βεβαιωτικὸς καὶ διαρθρωτικός. οἷον, πόθεν ὅτι τοῦτο ἀπόδειξις; τί γάρ ἐστιν ἀπόδειξις; τί ἀκολουθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος; οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον, ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον. ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν, καὶ περὶ ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή. τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. Τοιγαροῦν ψευδόμεθα μέν, πῶς δὲ ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

77. Ἐπὶ παντὸς προχείρου εὐκτέον ταῦτα·

Ἄγου δή με, ὦ Ζεῦ, καὶ σύ ἡ πεπρωμένη,
Ὅποι ποθ' ὑμῖν εἰμὶ διατεταγμένος.
Ὡς ἕψομαί γ' ἄοκνος· ἢν δὲ μὴ θέλω,
Ἐὰν δὲ μὴ θέλω, οὐχ ἧττον ἕψομαι.

78 Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκε καλῶς,
Σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖα ἐπίσταται.

79. Ἀλλὰ καὶ τὸ τρίτον· Ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γινέσθω. ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δ' οὔ.

CE-

vero etsi nondum es Socrates, sic tamen, ut qui Socrates esse velis, debes vivere.

LXXVI. Primus & maxime necessarius in philosophia locus est is, qui agit de usu decretorum, veluti, de non mentiendo. Alter, qui demonstrationes tractat; veluti, cur non sit mentiendum. Tertius, qui has ipsas confirmat & distinguit; veluti, quei fiat ut ista sit demonstratio? quid enim sit demonstratio? quid sit consequentia? quid pugna? quid verum? quid falsum? Quare tertius locus necessarius est propter secundum, secundus propter primum. Maxime autem necessarius est, & in quo conquiescendum sit, primus. Nos vero diversum facimus. Nam in tertio loco immoramur, in eoque omne studium nostrum consumimus: primum autem negligimus. Proinde mentimur quidem, & quomodo tamen demonstretur non esse mentiendum, in promptu habemus.

LXXVII. In quovis incepto hæc optanda sunt:
Me, Jupiter, duc, fortis & Necessitas,
Quocunque vestro destinatus numine
Sum: nam volens sequar. Minus quod si velim,
Sequar coactus, improbusque & impius.

LXXVIII. Necessitati qui probe se accommodat,
Sapit: estque rerum divinarum conscius.

LXXIX. Sed & tertium illud: *O Crito, si Diis ita visum fuerit, ita fiat. Me autem Anytus & Melitus occidere sane possunt, lædere vero non possunt.*

CEBETIS

THEBANI

Philosophi Platonici

TABULA,

Græce & Latine,

Qua vitæ humanæ prudenter instituendæ ratio continetur.




Κ· Ε Β Η Τ Ο Σ

Θ Η Β Α Ι Ο·Υ

Π Ι Ν Α Ξ.

Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῷ Κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν· ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθε τοῦ νεὼ, ἐν ᾧ ἦν γραφή τις ξένη καὶ μύθους ἔχουσα ἰδίους, οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνες καὶ πόθεν ἦσαν. οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος, ἐν αὑτῷ ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου. πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. ἔνδον δὲ τοῦ περιβόλου, πλῆθός τι γυναικῶν ἑωρᾶτο. ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ. ἀπορούντων δὲ ἡμῶν περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν

χρό-



C E B E T I S

T H E B A N I

T A B U L A

IN æde Saturni deambulantes, cum alia complura donaria ſpectabamus, tum tabulam quandam ante ſacellum dedicatam, quæ peregrinas quaſdam & peculiares fabulas depictas haberet. Quæ cujuſmodi & unde eſſent conjicere non poteramus. Pictura enim neque urbem neque caſtra præ ſe ferebat: ſed erat ſeptum quoddam, alia duo ſepta continens, alterum majus, alterum minus. Erat & porta in primo ſepto; cui magna turba adſtare videbatur. Intra ſeptum vero mulieres complures conſpiciebantur. In aditu primi veſtibuli & ſepti, ſenex quidam ſtabat, eo geſtu & habitu, ut ingredienti turbæ præcipere aliquid videretur. Cum vero diu inter nos, quid commentum illud ſibi vellet, ambigeremus, ſenex quidam aſtans:

Non

χρόνον, πρεσβύτης τις παρεστὼς, Οὐδὲν δεινὸν πάσχετε, ὦ ξένοι, ἔφη, ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης. οὐ γὰρ τῶν ἐπιχωρίων πολλοὶ ἴσασι, τί ποτε αὕτη ἡ μυθολογία δύναται. οὐδὲ γὰρ ἐστι πολιτικὸν ἀνάθημα, ἀλλὰ ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων, καὶ δεινὸς περὶ σοφίαν, λόγῳ δὲ καὶ ἔργῳ Πυθαγόρειον τινὰ καὶ Παρμενίδειον ἐζηλωκὼς βίον. ὅς τό τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ Κρόνῳ. Πότερον οὖν, ἔφην ἐγὼ, καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς; καὶ ἐθαύμασά γε, ἔφη, αὐτὸν πολὺν χρόνον· νεώτερος γὰρ ὢν πολλὰ καὶ σπουδαῖα διελέγετο. καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος. Πρὸς Διὸς τοίνυν, ἔφην ἐγὼ, εἰ μή τις σοὶ μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν. Πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτέ ἐστιν ὁ μῦθος. Οὐδεὶς φθόνος, ὦ ξένοι, ἔφη. ἀλλὰ τοῦτο δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις. Οἷόν τι; ἔφην ἐγώ. Ὅτι, εἰ μὲν προσέξητε, ἔφη, καὶ συνήσητε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε· εἰ δὲ μή, ἄφρονες, καὶ κακοδαίμονες, καὶ πικροὶ καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. Ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς Σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προυβάλλετο τοῖς ἀνθρώποις. εἰ μὲν οὖν αὐτὸ συνίη.

Non mirum, inquit, eſt, hoſpites, vos de pictura hac dubitare. Nam & ex indigenis pauci norunt fabulæ ſignificationem. Neque enim civitatis noſtræ donarium eſt: ſed olim hoſpes quidam, vir cordatus, & eruditione præſtans, qui & dictis & factis Pythagoreæ & Parmenideæ vitæ ſtudium præ ſe ferret, tam templum hoc, quam picturam Saturno dedicavit. An vero, inquam, ipſum hominem vidiſti, & noſti? Atqui etiam, inquit, longo tempore fui eum admiratus. Nam junior cum eſſet, multa præclare diſſerebat: & hujus ipſius fabulæ doctrinam ſæpe eum audivi exponentem. Obſecro igitur, inquam, niſi magna quæpiam occupatio te impedit, fabulam nobis explica, cujus audiendæ avidiſſimi ſumus. Nihil, inquit, obſtat, hoſpites: ſed illud vobis tenendum, enarrationem periculi non expertem eſſe. Cujuſmodi, inquam, id eſt? Quia, ſi auſcultaveritis, atque intellexeritis ea quæ dicentur, prudentes & beati evadetis: ſin minus, facti vecordes, infelices, acerbi atque indocti, male vivetis. Eſt enim expoſitio Sphingis ambagibus ſimilis, quas illa hominibus proponebat: quas qui intel-

ίη τις, ἐσώζετο. εἰ δὲ μὴ συνίη, ἀπώλλυτο ὑπὸ τῆς Σφιγγός. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ταύτης. ἡ γὰρ Ἀφροσύνη τοῖς ἀνθρώποις Σφίγξ ἐστιν. αἰνίττεται δὲ καὶ τάδε, τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ. ταῦτ' οὖν ἐὰν μή τις συνίῃ, ἀπόλλυται ὑπ' αὐτῆς οὐκ εἰσάπαξ, ὥσπερ ὁ ὑπὸ τῆς Σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι. ἂν δέ τις γνῷ, ἀνάπαλιν ἡ μὲν Ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. Ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε. Ὦ Ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ' οὕτως ἔχει. Ἀλλ' ἔστιν, ἔφη, οὕτως ἔχοντα. Οὐκοῦν φθάνοις τοίνυν διηγούμενος, ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτόν ἐστιν. Ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφὴν, Ὁρᾶτε, ἔφη, τὸν περίβολον τοῦτον; Ὁρῶμεν. Τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος Βίος· καὶ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην ἐφεστὼς, οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον, οὗτοί εἰσιν. ὁ δὲ γέρων, ὁ ἄνω ἑστηκὼς ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος Δαίμων καλεῖται. προστάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐ-

tellexerat, manebat incolumis; qui non assecutus erat, à Sphinge occidebatur. Eadem est enarrationis hujus ratio. Nam Amentia Sphinx est hominibus. Obscure autem & hæc innuit; quid in vita sit bonum, quid malum: quid neque bonum, neque malum. Quæ qui non intelligit, ab ea non semel interit, ut is, qui à Sphinge occisus devorabatur: Sed paulatim per omnem ætatem, ut qui, conjecti in carcerem, manum carnificis expectant, contabescit: Sin ea cognorit aliquis, vice versa perit Amentia: ipse vero salvus manet, perque omnem vitam, malorum expers, beatus efficitur. Vos igitur attenti estote, nec obiter audite. Dii boni, quantam nobis cupiditatem injecisti, si ista ita sint! Ita, inquit, res est. Quamprimum igitur narres, velim. Nam nos quidem haud obiter audiemus, in tanti præsertim & præmii & supplicii exspectatione. Sublato igitur baculo, & ad picturam extento: Cernitis, inquit, septum hoc? Cernimus. Hoc primum vobis tenendum est, locum hunc appellari *Vitam*: & magnam multitudinem, quæ portæ assistit, eos esse qui in vitam venturi sunt. Senex vero is, qui superne stat, chartam quandam una manu tenens, altera vero quiddam veluti monstrans, *Genius* dicitur. Mandat autem ingredientibus,

αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς τὸν βίον. καὶ δεικνύει ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ. ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς; ἔφην ἐγώ. Ὁρᾷς, εἶπε, παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν εἰσπορεύεται ὁ ὄχλος, ἐφ' οὗ κάθηται γυνὴ πεπλασμένη τῷ εἴδει, καὶ πιθανὴ φαινομένη, ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι; Ὁρῶ· ἀλλὰ τίς ἐστιν αὕτη, ἔφην; Ἀπάτη καλεῖται, φησιν, ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα. Εἶτα τί πράττει αὕτη; Τοὺς εἰσπορευομένους εἰς τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει. Τοῦτο δὲ τί ἐστι τὸ ποτόν; Πλάνη, ἔφη, καὶ Ἄγνοια. Εἶτα τί; Πιόντες τοῦτο, πορεύονται εἰς τὸν βίον. Πότερον οὖν πάντες πίνουσι τὴν πλάνην, ἢ οὔ; Πάντες πίνουσιν, ἔφη. ἀλλ' οἱ μὲν πλεῖον, οἱ δὲ ἧττον. ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναικῶν ἑταιρῶν, παντοδαπὰς μορφὰς ἐχουσῶν; Ὁρῶ. Αὗται τοίνυν, Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ Ἡδοναὶ καλοῦνται. Ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος, ἀναπηδῶσιν αὗται, καὶ συμπλέκονται πρὸς ἕκαστον· εἶτα ἀπάγουσι. Ποῖ δὲ ἀπάγουσιν αὐτούς; Αἱ μὲν εἰς τὸ σώζεσθαι, ἔφη, αἱ δὲ εἰς τὸ ἀπόλλυσθαι, διὰ τὴν ἀπάτην. Ὦ δαιμόνιε, ὡς χαλεπὸν τὸ πόμα λέγεις; Καὶ πᾶσαί γε, ἔφη, ἐπαγγέλλονται ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. οἱ δὲ διὰ τὴν ἄγνοιαν, καὶ τὴν πλάνην, ὃν πεπώκασι παρὰ τῆς Ἀπά-

quid eis, ubi in vitam venerint, faciendum sit: & cui viæ se committere debeant, si salvi esse in vita velint, ostendit. Quam igitur, ingredi eos jubet, aut quomodo? Viden', inquit, juxta portam solium positum, qua turba ingreditur, cui mulier insidet, ficto vultu; argutaque specie, & manu poculum quoddam tenens? Video, inquam; sed quæ ea est? *Impostura*, inquit, quæ omnes homines seducit. Ecquid agit ea? Iis, qui in vitam ingrediuntur, facultatem suam propinat. Quæ verò est illa potio? *Error*, inquit, & *Ignorantia*. Quid tum? Hac pota, veniunt in vitam. Num ergo omnes Errorem bibunt? Omnes bibunt, inquit: sed alii plus, alii minus. Nonne præterea intra portam vides turbam quandam mulierum meretricum, variis præditarum formis? Video. Hæ ergo *Opiniones*, *Cupiditates*, *& Voluptates* appellantur; turbaque ingrediente, exilientes amplectuntur singulos, atque abducunt. Quo vero abducunt eos? Aliæ ad salutem, inquit, aliæ ad interitum, ob imposturam. O vir optime, quam gravem potionem dicis! Et quidem omnes pollicentur, se illos ad optima quæque perducturas, & ad vitam beatam, in qua acquiescant. Illi vero propter ignorantiam & errorem, quem apud *Imposturam* hauserunt, ve-

Ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀληθινὴ
ὁδὸς ἐν τῷ βίῳ· ἀλλὰ πλανῶνται εἰκῆ, ὥσ-
περ ὁρᾷς. Ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευομέ-
νους, ὡς περιάγονται, ὅπῃ ἂν αὕται δεικνύωσιν;
Ὁρῶ τοῦτο, ἔφην. ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἡ
ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δοκοῦσα,
καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου; Καλεῖται
μὲν, ἔφη, Τύχη. ἔστι δὲ οὐ μόνον τυφλὴ, ἀλλὰ καὶ
μαινομένη καὶ κωφή. Αὕτη οὖν τί ἔργον ἔχει;
Περιπορεύεται πανταχοῦ, ἔφη, καὶ παρ' ὧν
μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδω-
σι· καὶ παρὰ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται πα-
ραχρῆμα ἃ δέδωκε, καὶ ἄλλοις δίδωσιν εἰκῆ
καὶ ἀβεβαίως. διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει
τὴν φύσιν αὐτῆς. Ποῖον τοῦτο; ἔφην ἐγώ. ὅτι ἐπὶ
στρογγύλου λίθου ἕστηκεν. Εἶτα τί τοῦτο σημαίνει;
Ὅτι οὐκ ἀσφαλὴς, οὐδὲ βεβαία ἐστὶν ἡ παρ' αὐ-
τῆς δόσις. ἐκπτώσεις γὰρ μεγάλαι καὶ σκληραὶ
γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ. Ὁ δὲ ὄχλος ὁ
πολὺς οὗτος, ὁ περὶ αὐτὴν ἑστηκὼς, τί βούλεται,
καὶ τίνες καλοῦνται; Καλοῦνται καὶ οὗτοι ἀ-
προβούλευτοι. αἰτοῦσι δὲ ἕκαστος αὐτῶν ἃ ῥίπτει.
Πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφὴν, ἀλλ' οἱ
μὲν αὐτῶν δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν,
ἐκτετακότες τὰς χεῖρας; Οἱ μὲν δοκοῦντες, ἔφη,
χαίρειν καὶ γελᾶν αὐτῶν, οἱ εἰληφότες τι παρ' αὐτῆς
Τύχης εἰσίν. οὗτοι δὲ καὶ Ἀγαθὴν Τύχην αὐτὴν
καλοῦσιν. οἱ δὲ δοκοῦντες κλαίειν, καὶ τὰς χεῖρας
ἐκ-

veram degendæ vitæ viam non inveniunt; sed temere oberrant, ut vides. Vides item, prius ingressos circumire quo illæ monstrarint? Video hæc, inquam. Sed quæ est illa mulier, quæ, cæcæ & furenti similis, saxo rotundo insistit? Vocatur, inquit, illa quidem *Fortuna*: neque cæca solum est, sed & insana & surda. Ea ergo quo munere fungitur? Passim, inquit, vagatur: & aliis quod habent, rapit, aliisque largitur; iisdemque rursus statim eripit quæ dedit, eaque donat aliis temere & inconstanter. Rectè igitur signum ejus naturam declarat. Quodnam illud? inquam; Quod rotundo saxo insistit. Id vero quid sibi vult? Non tuta & firma ejus esse munera, significat. Magnæ enim & graves jacturæ fiunt, cum quis ei fidem habet. Quid? magna illa turba quæ eam circumstat, quid petit, & quei vocantur? Dicuntur hi *Inconsiderati*. Singuli vero ea petunt, quæ illa abjicit. Quei ergo fit, ut non eodem sint vultu; sed alii lætari, alii mœrere passis manibus videantur? Qui lætari & ridere videntur ii sunt, inquit, qui aliquid à *Fortuna* acceperunt; iidemque *Fortunam Prosperam* eam vocant

ἐκλελυκότες, εἰσὶ παρ᾽ ὧν ἀφείλετο ἃ δέδωκε πρότερον αὐτοῖς. Οὗτοι πάλιν Κακὴν Τύχην αὐτὴν καλοῦσι. Τίνα οὖν ἐστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν λαμβάνοντες χαίρουσιν, οἱ δὲ ἀποβάλλοντες κλαίουσι; Ταῦτα, ἔφη, ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά. Ταῦτα οὖν τίνα ἐστί; Πλοῦτος δηλαδὴ καὶ δόξα καὶ εὐγένεια, καὶ τέκνα, καὶ τυραννίδες καὶ βασιλεῖαι, καὶ τἆλλα, ὅσα τούτοις παραπλήσια. Ταῦτα οὖν πῶς οὐκ ἔστιν ἀγαθά; Περὶ μὲν τούτων, ἔφη, καὶ αὖθις διαλεξόμεθα, νῦν δὲ περὶ τὴν μυθολογίαν γενώμεθα. Ἔστω οὕτως. Ὁρᾷς οὖν ὡς ἂν παρέλθοις τὴν πύλην ταύτην, ἀνώτερον ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑστηκυίας κεκοσμημένας, ὥσπερ ἑταῖραι εἰώθασι; Καὶ μάλα. Αὗται τοίνυν, ἡ μὲν Ἀκρασία καλεῖται, ἡ δὲ Ἀσωτία, ἡ δὲ Κολακεία. Τί οὖν ὧδε ἑστήκασιν αὗται; Παρατηροῦσιν, ἔφη, τοὺς εἰληφότας τι παρὰ τῆς Τύχης. Εἶτα τί; Ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς, καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ᾽ αὐταῖς μένειν, λέγουσαι ὅτι βίον ἕξουσιν ἡδὺν, καὶ ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. Ἐὰν οὖν τις πεισθῇ ὑπ᾽ αὐτῶν εἰς τὴν ἡδυπάθειαν, μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβὴ, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον, εἶτ᾽ οὐκ ἔστιν. Ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν, ἀλλ᾽ ὑπ᾽ αὐτῆς κατησθίετο, καὶ ὑβρίζετο. Διὸ καὶ ὅταν ἀ-

Qui vero plorantium ſpecie manus extendunt, ii ſunt, quibus ea eripuit quæ ante dederat. Hi contra, *Malam Fortunam* eandem appellant. Quæ ſunt ergo illa quæ largitur, cum & ii, qui ea accipiunt, ita lætentur; & qui amittunt, plorent? Hæc quæ vulgo bona cenſentur. Ea quæ ſunt? Divitiæ ſcilicet, gloria, nobilitas, liberi, imperia, regna, & id genus alia pleraque. Eho, numnam iſta bona non ſunt? De his quidem alias diſputabimus: nunc autem explicationi fabulæ intenti ſimus. Fiat ita. Vides ergo, ubi portam iſtam præterieris, aliud ſeptum altius, & mulieres extra ſeptum ſtantes, meretricum inſtar ornatas? Omnino. Harum alia *Incontinentia* vocatur, alia *Luxuria*; alia *Aſſentatio*. Quid ergo heic aſtant iſtæ? Obſervant eos qui aliquid à Fortuna acceperunt. Quid tum? Exultant, & eos ampleċtuntur, & adulantur: utque apud ſe manere velint, poſtulant: ac vitam eis pollicentur ſuavem, otioſam, & omnis expertem moleſtiæ. Quod ſi quis eis obſecutus, delicias amplexus fuerit: ei jucunda videtur ad tempus illa vitæ ratio, dum hominem quaſi titillarit; cum revera talis non ſit. Ubi enim reſipuerit, ſe non comediſſe, ſed ab iis & comeſum, & contumelioſe tractatum eſſe, ſentit. Itaque jam

ναλώσῃ πάνθ' ὅσα ἔλαβε παρὰ τῆς Τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ' ὑπομένειν, καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων ὅσα ἐστὶ βλαβερά. οἷον ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῄζεσθαι, καὶ πάνθ' ὅσα τούτοις παραπλήσια. ὅταν οὖν πάντα αὐτοῖς ἀπολείπῃ, παραδίδονται τῇ Τιμωρίᾳ. Ποία δέ ἐστιν αὕτη; Ὁρᾷς ὀπίσω τι αὐτῶν, ἔφη, ὥσπερ θύριον μικρὸν, καὶ τόπον στενόν τινα, καὶ σκοτεινόν; Οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι; Καὶ μάλα. Αὗται τοίνυν, ἔφη, ἡ μὲν τὴν μάστιγα ἔχουσα, καλεῖται Τιμωρία· ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, Λύπη· ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, Ὀδύνη. Ὁ δ' ἄλλος οὗτος ὁ παρεστηκὼς αὐταῖς, δυσειδής τις, καὶ λεπτὸς, καὶ γυμνὸς, καὶ κατὰ ταῦτά τις ὁμοία αὐτῷ, αἰσχρὰ, καὶ λεπτὴ, τίς ἐστιν; Ὁ μὲν Ὀδυρμὸς καλεῖται, ἔφη· ἡ δὲ ἀδελφὴ αὐτοῦ Ἀθυμία· τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. εἶτα πάλιν ἐνταῦθα εἰς ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν Κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κακοδαιμονίᾳ, ἂν μὴ Μετάνοια αὐτῷ ἀπὸ τῆς Τύχης συναντήσῃ. Εἶτα τί γίγνεται; Ἐὰν ἡ Μετάνοια αὐτῷ συναντήσῃ, ἐξαιρεῖ αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν Δόξαν καὶ Ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν Παιδείαν ἄγουσαν, ἅμα δὲ καὶ

consumptis iis quæ à Fortuna acceperat omnibus, mulieribus istis servire cogitur, & omnia perpeti indecoreque se gerere, & propter eas quævis perniciosa in se admittere: cujusmodi sunt, fraudare, fana spoliare, pejerare, prodere, latrocinari, cæteraque his consimilia. Sed cum eos hæc omnia defecerint, traduntur Pœnæ. Qualis ea est? Vides à tergo eorum aliquid fenestellæ simile, & locum quendam angustum & tenebrosum? Atque etiam mulieres quædam fœdæ, & sordidæ, & pannis obsitæ, ibi esse videntur? Omnino. Ea igitur quæ flagellum tenet, *Pœna* dicitur: Quæ caput ad genua demittit: *Mœstitia*: Quæ capillos evellit, *Ærumna*. Alius vero quidam, illis qui astat, deformis, extenuatus, & nudus, ac post eum mulier quædam, ei similis, deformis, & tenuis, quinam sunt? Ille quidem, inquit, *Luctus* vocatur: ejus vero soror, *Desperatio*. His igitur traditur, & cum his in cruciatibus vitam agit. Deinde rursus in aliam domum conjicitur, *Infoelicitatis*; ubi quod reliquum est ævi, in omni miseria exigit, nisi ei *Pœnitentia* forte fortuna occurrerit. Quid tum fit? *Pœnitentia*, obviam ei facta, ex istis malis eum eripit, eique *Opinionem* aliam, & *Cupiditatem*, ad *Veram Eruditionem* perducturam, inserit; unaque eam, qua ad *Falsi*

τὴν εἰς τὴν Ψευδοπαιδείαν καλουμένην. εἶτα τί γίγνεται; ἐὰν μέν, φησί, τὴν δόξαν ταύτην προσδέξηται, τὴν ἄγουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν Παιδείαν, καθαρθεὶς ὑπ' αὐτῆς σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μή, πάλιν πλανᾶται ὑπὸ τῆς Ψευδοδοξίας. Ὦ Ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος; ἡ δὲ Ψευδοπαιδεία ποία ἐστίν; ἔφην ἐγώ. Οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον; Καὶ μάλα, ἔφην ἐγώ. Οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθαρὰ καὶ εὔτακτος εἶναι; Καὶ μάλα. Ταύτην τοίνυν οἱ πολλοὶ καὶ εἰκαῖοι τῶν ἀνθρώπων Παιδείαν καλοῦσιν· οὐκ ἔστι δέ, ἀλλὰ Ψευδοπαιδεία, ἔφη. οἱ μέντοι σωζόμενοι, ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν Παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται. Πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν ἐπὶ τὴν ἀληθινὴν Παιδείαν ἄγουσα; Ἔστιν, ἔφη. Οὗτοι δὲ οἱ ἄνθρωποι οἱ ἔσω τοῦ περιβόλου ἀναχάμπτοντες, τίνες εἰσίν; Οἱ τῆς Ψευδοπαιδείας, ἔφη, ἐρασταί, ἠπατημένοι, οἰόμενοι μετὰ τῆς ἀληθινῆς παιδείας συνομιλεῖν. Τίνες οὖν καλοῦνται οὗτοι; Οἱ μὲν ποιηταί, ἔφη, οἱ δὲ Ῥήτορες, οἱ δὲ Διαλεκτικοί, οἱ δὲ Μουσικοί, οἱ δὲ Ἀριθμητικοί, οἱ δὲ Γεωμέτραι, οἱ δὲ Ἀστρολόγοι, οἱ δὲ Ἡδονικοί, οἱ δὲ Περιπατητικοί, οἱ δὲ Κριτικοί, Καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι. Αἱ δὲ γυναῖκες ἐκεῖναι αἱ δοκοῦσαι περι-

τρέ-

nominis eruditionem perveniat. Quid tum fit? Si quidem, inquit, eam opinionem comprehenderit, quæ ipsum ad *Veram eruditionem* perducat, ab ea purgatus servatur: & omnis calamitatis expers, ac beatus omne tempus ætatis degit: sin minus, denuo à Falsi nominis eruditione seducitur. Pro Jupiter, ut ingens est, & alterum hoc discrimen! Qualis vero, inquam, est *Falsi nominis eruditio*? Nonne vides, inquit, alterum illud septum? Utique, inquam. Extra id septum, juxta vestibulum, stat mulier quædam, quæ valde munda & composita esse videtur. Eam vulgus, & vani homines, Eruditionem vocant: cum ea non sit, sed Falsi nominis eruditio. Ad hanc igitur ii, qui servandi sunt, & ad veram eruditionem perventuri, huc primum divertunt. Numquid ergo alia via nulla est, quæ ad Veram eruditionem ducat? Est, inquit. Isti vero homines, qui intra septum obambulant, qui sunt? Falsi nominis eruditionis amatores, inquit, decepti, atque opinantes, se Veræ eruditionis frui consuetudine. Quibus ergo nominibus appellantur isti? Alii Poëtæ, inquit, alii Oratores, alii Dialectici, alii Musici, alii Arithmetici, alii Geometræ, alii Astrologi, alii Voluptarii, alii Peripatetici, alii Critici, cæterique horum non dissimiles. Mulieres vero il-

lae

τρέχειν ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν Ἀκρασίαν, καὶ αἱ ἄλλαι αἱ μετ' αὐτῶν, τίνες εἰσίν; Αὗται ἐκεῖναί εἰσιν, ἔφη. πότερον οὖν καὶ ὧδε εἰσπορεύονται; Νὴ Δία καὶ ὧδε, σπανίως δέ, καὶ οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ. πότερον οὖν καὶ αἱ Δόξαι; Ναί, ἔφη. ἔτι μένει γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον παρὰ τῆς Ἀπάτης, καὶ ἡ Ἄγνοια μένει. Νὴ Δία, καὶ μετ' αὐτῆς γε ἡ Ἀφροσύνη. καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν οὔθ' ἡ Δόξα, οὔθ' ἡ λοιπὴ Κακία, μέχρις ἂν ἀπογνόντες τῆς Ψευδοπαιδείας, εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσι τὴν τούτου καθαρτικὴν δύναμιν, καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσα ἔχουσι, καὶ τὰς Δόξας καὶ τὴν Ἄγνοιαν, καὶ τὴν λοιπὴν πᾶσαν Κακίαν. τότε ἂν οὕτω σωθήσονται. ὧδε δὲ μένοντες παρὰ τῇ Ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐκλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων. ποία οὖν αὕτη ὁδός ἐστιν, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν παιδείαν; Ὁρᾷς, ἔφη, ἄνω τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικαοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι; Ὁρῶ. Οὐκοῦν καὶ θύραν τινὰ μικρὰν, καὶ ὁδόν τινα πρὸ τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλὰ πάνυ ὀλίγοι πορεύονται, ὥσπερ δυσανόδου τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης; Καὶ μάλα, ἔφην. Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα

ἔνθεν

læ, quæ circumcurſare videntur, primis ſimiles, inter quas eſſe dicebas *Incontinentiam*, & reliquas illius ſocias, quænam ſunt? Illæ ipſæ, inquit, ſunt. Num qui ergo & huc ingrediuntur? Et huc medius fidius, ſed raro: nec ita frequenter, ut in primum ſeptum. Numquid ergo & Opiniones? Næ, inquit, nam & in his etiamnum Potio, ab Impoſtura propinata, & Ignorantia, manet: atque etiam mehercule, una cum ea, Amentia. Neque vero ab eis vel Opiniones vel cætera vitia recedent, donec, repudiata Falſi nominis eruditione veram ingreſſi viam, purgatricem iſtarum rerum vim biberint, & mala omnia, quibus urgentur, ut Opiniones & Ignorantiam, & reliquam omnem Vitioſitatem, ejecerint; tum demum enim ſervabuntur. Dum vero heic manſerint apud Falſi nominis eruditionem, nunquam liberabuntur: nec ullum malum, illarum quidem diſciplinarum ſubſidio, profligabunt. Quæ ergo via eſt, quæ ad Veram eruditionem ferat? Videſne, inquit, editum illum locum, qui à nemine incoli, ac deſertus eſſe videtur? Video. Ergo & januam parvam, & viam quandam ante januam, parum frequentem, & à perpaucis tritam, ut quæ & præceps & aſpera, & prærupta eſſe videatur? Omnino, inquam. Ibi & Tumulus excelſus cernitur, & anguſtus aditus, utrinque in

pro-

ἔνθεν κἀκεῖθεν βαθεῖς; Ὁρῶ. Αὕτη τοίνυν ἐστὶν ἡ ὁδός, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν παιδείαν. Καὶ μάλα γε χαλεπὴ προσιδεῖν. Οὐκοῦν καὶ ἄνω γε περὶ τὸν βουνὸν ὁρᾷς πέτραν μεγάλην, καὶ ὑψηλήν, κύκλῳ ἀπόκρημνον; Ὁρῶ, ἔφην. Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῆς πέτρας, καὶ διευεκτούσας τῷ σώματι, καὶ ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως; Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται, ἔφην, αὗται; Ἡ μὲν Ἐγκράτεια καλεῖται, ἔφη, ἡ δὲ Καρτερία. εἰσὶ δὲ ἀδελφαί. Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως; Παρακαλοῦσιν, ἔφη, τοὺς παραγινομένους ἐπὶ τὸν τόπον, θαρρεῖν, καὶ μὴ ἀποδειλιᾶν, λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτούς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν. Ὅταν οὖν παραγίνωνται ἐπὶ τὴν πέτραν, πῶς ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ' αὐτήν. Αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς ἑαυτάς· εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι, καὶ μετὰ μικρὸν διδόασιν Ἰσχὺν καὶ Θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστῆσαι πρὸς τὴν ἀληθινὴν Παιδείαν, καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδόν, ὡς ἔστι καλή τε, καὶ ὁμαλή, καὶ εὐπόρευτος, καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς. Ἐμφαίνει, νὴ Δία. Ὁρᾷς οὖν, ἔφη, καὶ ἔμπροσθε τοῦ ἄλσους ἐκείνου τόπον τινά, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμω-

νοει-

profundum præceps. Video. Hæc igitur, inquit, via eſt, quæ ad veram eruditionem ducit. Et quidem aſpectu, inquam, valde ardua. Ergo & ſuperne juxta tumulum magnam rupem vides & altam, undique præruptam? Video, inquam. Vides ergo & duas mulieres, ſucci plenas, & robuſto corpore in rupe ſtantes, quæ manus alacriter extendunt? Video, inquam, ſed quæ eis nomina ſunt? Una, inquit, Continentia vocatur, altera Tolerantia. Sunt autem ſorores. Cur vero manus adeo alacriter extendunt? Hortantur, inquit, viatores ad eum locum progreſſos, ut bonis ſint animis, nec per ignaviam deſperent. Fore enim, ut poſt parvi temporis difficultates, in amœnam viam perveniant. Ubi autem ad rupem acceſſerint, quo pacto aſcendunt? Nullam enim, quæ eo ferat, viam perſpicio. Ipſæ à præcipitio ad eos non nihil deſcendunt, eoſque ſurſum ad ſeſe attrahunt. Poſtea jubent eos requieſcere: & paulo poſt eis dant Robur & Fiduciam, & pollicentur ſe eos ad veram eruditionem perducturas: ac demonſtrant, quam ea via ſit amœna, & plana, & expedita, & omnis expers mali, ut vides. Ita certe quidem apparet. Videſne porro, inquit, ante lucum illum locum quendam, qui & amœnus videtur, & prati inſtar,

νοειδής, καὶ φωτὶ πολλῷ καταλαμπόμενον; Καὶ μάλα. Κατανοεῖς οὖν καὶ ἐν μέσῳ τοῦ λειμῶνος περίβολον ἕτερον, καὶ πύλην ἑτέραν; Ἔστιν οὕτως. Ἀλλὰ τίς καλεῖται ὁ τόπος οὗτος; Εὐδαιμόνων οἰκητήριον, ἔφη. ὧδε γὰρ διατρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία. Εἶεν, ἔφην ἐγὼ, ὡς καλὸν τὸν τόπον εἶναι. Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη, ὅτι γυνή τις ἐστὶ καλὴ, καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέση δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ, στολὴν δ᾽ ἔχουσα ἁπλῆν, καὶ οὐδένα καλλωπισμόν, ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ᾽ ἐπὶ τετραγώνου ἀσφαλῶς κειμένου. καὶ μετὰ ταύτης ἄλλαι δύο εἰσί, θυγατέρες τινές δοκοῦσιν εἶναι; Ἐμφαίνει οὕτως ἔχειν. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν· ἡ δὲ, Ἀλήθεια· ἡ δὲ Πειθώ. Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη; Σημεῖον, ἔφη, ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδὸς ἐστὶ τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη; Θάρσος, καὶ Ἀφοβία, ἔφη ἐκεῖνος· Ταῦτα δὲ τίνα ἐστίν; Ἐπιστήμη, ἔφη, τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ. Ἡράκλεις, ὡς καλὰ, ἔφην, τὰ δῶρα. Ἀλλὰ τίνος ἕνεκεν ἔξω τοῦ περιβόλου ἕστηκεν οὕτως; Ὅπως τοὺς παραγινομένους, ἔφη, θεραπεύῃ καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν.

εἶθ᾽

ſtar, multaque luce illuſtris? Utique. Videſne in prati medio etiam aliud ſeptum, & aliam portam? Eſt ita. Sed quomodo vocatur locus ille? Beatorum domicilium, inquit. Hic enim degunt Virtutes omnes, & Beatitudo. Amœnus dubio procul is locus eſt. Vides ergo, inquit, juxta portam ſtare matronam formoſam, conſtanti vultu, ætate media, & jam ad ſenectutem declinante, veſte ſimplici, & aſciticii cultus experte? Inſiſtit autem ſaxo non globoſo, ſed quadrato atque immobili. Ei adſunt aliæ quædam duæ, filiæ ejus, ut videtur? Ita quidem videtur. Harum igitur media Eruditio eſt, inquit: altera, Veritas, altera Suadela. Cur autem quadrato ſaxo inſiſtit? Indicio, inquit, eſt, & viatoribus viam ad eam eſſe tutam ac firmam: & accipientibus munerum ejus fructum ſecurum. Ecquæ ſunt ejus munera? Fiducia, Securitas, Vacuitas à perturbationibus, inquit ille. Quamnam iſta vim habent? Eam, ut ſciant, nihil unquam in vita ſibi mali eventurum. Dii boni, inquam, quam præclara munera! Sed cur ſic extra ſeptum adſtat? Ut hoſpites, inquit, ſanet, eiſque vim purgatricem propinet. Ubi

εἶθ' ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς εἰσάγει πρὸς τὰς Ἀρετάς. πῶς τοῦτο; ἔφην ἐγώ. οὐ γὰρ συνίημι. Ἀλλὰ συνήσεις, ἔφη. ὡς ἂν εἴ τις φιλοτίμως κάμνων ἐτύγχανε, πρὸς τὸν ἰατρὸν ἂν δήπου γινόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε πάντα τὰ νοσοποιοῦντα· εἶτα οὕτως ἂν αὐτὸν ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν καθέστηκεν. εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου. Ταῦτα συνίημι, ἔφην ἐγώ. Τὸν αὐτὸν τοίνυν τρόπον, ἔφη, καὶ πρὸς τὴν παιδείαν, ὅταν τις παραγίνηται, θεραπεύει αὐτὸν καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον καὶ ἐκβάλῃ τὰ κακὰ πάντα, ὅσα ἔχων ἦλθε. ποῖα ταῦτα; τὴν Ἄγνοιαν καὶ τὸν πλάνον, ὃν ἐπεπώκει παρὰ τῆς Ἀπάτης, καὶ τὴν Ἀλαζονείαν, καὶ τὴν Ἐπιθυμίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὸν Θυμόν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ. Ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει; Ἔνδον, ἔφη, πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς. ποίας ταύτας; οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν, ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν; ἔτι τε ὡς ἄπλαστοι εἰσί, καὶ οὐδαμῶς κεκαλλωπισμέναι ὥσπερ αἱ ἄλλαι; ὁρῶ, ἔφην. ἀλλὰ τίνες αὗται καλοῦνται; Ἡ μὲν πρώτη Ἐπιστήμη, ἔφη, κα-

vero purgati fuerint, tum demum eos ad Virtutes adducit. Quomodo iſtud? inquam. Neque enim intelligo. Sed intelliges, inquit, Fit enim hic perinde, ut ſi quis gravi affectus morbo ad medicum perducatur. Is vero purgationibus inprimis omnes morbi cauſas ejicit, ac tum demum vi es confirmat, ſanitatemque reſtituit. Sin æger medico non paruiſſet, merito ejectus à morbo interiſſet. Hæc, inquam, intelligo. Ad eum ergo, inquit, modum ad Eruditionem ubi quis pervenerit, ea curat illum, ſuamque illi vim propinat, ut ante omnia expurget & ejiciat mala quæ ſecum attulerat omnia. Quænam iſta? Ignorantiam, & Errorem apud Impoſturam hauſtum, & Arrogantiam, & Cupiditatem, & Incontinentiam, & Iracundiam, & Avaritiam, cæteraque omnia, quæ in primo ſepto ingurgitarat. Poſtquam autem purgatus fuerit, quo eum mittit? Intro, inquit, ad Scientiam, & cæteras Virtutes. Quaſnam iſtas? Non vides, inquit, intra portam cœtum matronarum, quæ & formoſæ, & modeſtæ videntur: atque etiam ficti nihil habent, minimeque comptæ ſunt, ut cæteræ? Video, Sed quæ ſunt earum nomina? Prima quidem Scientia

καλεῖται. αἱ δὲ ἄλλαι ταύτης ἀδελφαί, Ἀνδρεία, καὶ Δικαιοσύνη, Καλοκαγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πραότης. Ὦ κάλλισται, ἔφην ἐγωγε· ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν; Ἐὰν συνῆτε, ἔφη, καὶ ἕξιν περιποιήσεσθε, ὧν ἀκούετε. Ἀλλὰ προσέξομεν ὡς μάλιστα, ἔφην ἔγωγε. Τοιγαροῦν, ἔφη, σωθήσεσθε. Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῖ ἄγουσι; πρὸς τὴν μητέρα, ἔφη. Αὕτη δὲ τίς ἐστιν; Εὐδαιμονία, ἔφη· ποία δὲ ἐστιν αὕτη; ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων; ὁρῶ. οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως, καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καλῶς; Ἐμφαίνει οὕτως ἔχειν. Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία, ἔφη. ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ; Στεφανοῖ αὐτὸν, ἔφη, τῇ ἑαυτῆς δυνάμει Εὐδαιμονία, καὶ αἱ ἄλλαι πᾶσαι Ἀρεταί, ὥσπερ τοὺς νενικηκότας τοὺς μεγίστους ἀγῶνας. Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ. Τοὺς μεγίστους, ἔφη, καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει δοῦλον. ταῦτα πάντα νενίκηκε, καὶ ἀπέρριψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ· ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι,

καθ-

dicitur: reliquæ vero ejus forores, Fortitudo, Juftitia, Vitæ integritas, Temperantia, Modeftia, Liberalitas, Continentia. O pulcherrimas, inquam! Quanta in fpe fiti fumus! Si quidem intellexeritis, inquit, & ufu vitæ confirmabimini in iis, quæ auditis. Enimvero, inquam, fummo ftudio elaborabimus. Itaque falvi eritis, inquit. Hæ vero cum eum fufceperint, quo deducunt? Ad matrem fuam, inquit. Ea vero quæ eft? Beatitudo, inquit. Cujufmodi vero eft? Videfne viam illam, quæ ducit ad faftigium illud, quæ arx eft feptorum omnium? video. In veftibulo igitur Matrona, conftanti ætate, & formofa, in alto folio fedet, compta liberaliter, & citra luxum, corona florida peregregie ornata. Ita fane videtur. Ea igitur Beatitudo eft, inquit. Cum autem huc aliquis pervenerit, quid illa agit? Coronat eum, inquit, fua vi, cæteræque virtutes omnes, ut eos qui maximis fint certaminibus defuncti. Quibus autem certaminibus is eft defunctus? inquam. Tum ille: Maximis, inquit: & maximas belluas, quæ prius ipfum devorabant, & cruciabant, nec non in fervitutem dabant, fuperavit omnes, & à fe profligavit, ipfe fui juris factus: adeo ut illæ jam ei ita fer-

καθάπερ οὗτος ἐκείνοις πρότερον. Ποῖα λέγεις ταῦτα τὰ θηρία; πάνυ γὰρ ἐπιθυμῶ ἀκοῦσαι. Πρῶτον μὲν, ἔφη, τὴν ἄγνοιαν, καὶ τὸν πλάνον. ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι; Καὶ πονηρά γε, ἔφην ἐγώ. Εἶτα τὴν Λύπην, καὶ τὸν ὀδυρμὸν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν κακίαν, πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον. Ὢ καλῶν ἔργων, ἔφην ἐγὼ, καὶ καλλίστης νίκης· ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπὲ, τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν; Εὐδαιμονική, ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει εὐδαίμων γίνεται, καὶ μακάριος, καὶ οὐκ ἔχει ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν ἑαυτῷ. Ὡς καλὸν τὸ νίκημα λέγεις; ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει; Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρότερον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων. οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζονείας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενοδοξίας, οἱ δὲ ὑφ' ἑτέρων κακῶν· ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε. ἀλλὰ ταρατ-

viant; quemadmodum ipse dudum illis serviebat. Quasnam dicis belluas? Perquam enim audire cupio. Primum, inquit, Ignorantiam & Errorem. An vero eas esse belluas non censes? Et quidem maleficas, inquam. Deinde Dolorem, Luctum, Avaritiam, Intemperantiam, & omnia genera vitiorum. His omnibus imperat, non paret, ut prius. O præclara, inquam, facinora, victoriamque pulcherrimam! Verum illud etiam mihi dicito: quæ vis est illius coronæ, qua eum ornari dicebas? Beatifica, ô adolescens. Nam qui ea vi coronatur, fit beatus, & malorum expers: nec in aliis spem felicitatis habet repositam, sed in semet ipso. O præclaram victoriam! Ubi autem coronatus est, quid facit, quove abit? Virtutes eum deducunt eo, unde ante venerat: & ostendunt ei illos qui ibi agunt, ut male & misere vivant, & ut vitæ naufragium faciant, & errent: & quasi victi ab hostibus ducantur; alii ab Incontinentia, alii ab Arrogantia, alii ab Avaritia, alii Vanæ gloriæ studio, alii ab aliis malis. Quibus à difficultatibus, quibus constricti tenentur, ipsi eluctari non possunt, ut serventur, & huc perveniant; sed

ῥᾷστον διὰ παντὸς τοῦ βίου. τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν. ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ δαιμονίου πρόσταγμα; Ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ Ἀρεταὶ, ὅθεν ἧκε τὸ πρότερον; Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο, ἔφη, οὐδὲν τῶν ἐκεῖ, ἀλλ' ἐνεδοίαζε. καὶ διὰ τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ, κακά. διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες. νῦν δὲ ἀπειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ, ἢ ποῖ βαδίζει; Ὅπου ἂν βούληται, ἔφη· πανταχοῦ γὰρ ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τὸ Κωρύκιον ἄντρον ἔχοντι. καὶ πανταχοῦ οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας. ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες. Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν; Οὐδέν. οὐ μὴ διοχληθήσεται οὔτε ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ' Ἀκρασίας, οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπὸ ἄλλου κακοῦ οὐδενός. ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρό-

τε-

per omnem ætatem turbantur. Quod eo illis accidit, quod viam hanc invenire non possunt, quippe obliti mandatum quod Genius dederat. Recte mihi dicere videris. Sed rursus illud dubito, cur Virtutes eum locum illi monstrent, unde prius huc venerat? Non satis nôrat, neque intelligebat, inquit, quicquam eorum quæ ibi geruntur: sed dubitabat: &, ob Ignorantiam & Errorem quem imbiberat, ea quæ bona non sunt, bona esse putabat; & mala, quæ mala non sunt. Quare male vivebat, ut cæteri qui ibi degunt. Nunc vero conducibilium rerum scientiam consecutus, cum ipse bene vivit, tum illorum miserias perspicit. Hæc autem contemplatus, quid agit, aut quo vadit? Quocunque voluerit, inquit. Ubique enim in tuto est, non secus ac si Corycium antrum teneret. Et quocunque pervenerit, omnino honeste vivet, ab omni periculo remotissimus. Omnes enim eum libenter suscipient, ut ægroti medicum. Numquid ergo illas quoque mulieres, quas dicebas esse belluas, timere desiit, nihil ab eis expectans mali? Nihil. Neque enim vel Dolore, vel Molestia, vel ab Avaritia, vel ab ullo alio malo vexabitur. Omnibus enim dominatur, omnibus est superior iis à quibus ante exagitaba-

τερον αὐτὸν λυποῦντα. καθάπερ οἱ ἐχιόδηκτοι. τὰ γὰρ θηρία δήπου, πάντας τοὺς ἄλλους κατηποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτοὺς τοῦτο. καὶ τοῦτον οὐδὲν λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. ἀλλ' ἔτι τοῦτό μοι εἰπὲ, τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός. οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι, καὶ τὰς κνήμας καὶ τὰς κεφαλὰς δοκοῦσι τετρίφθαι. κατέχονται δὲ ὑπὸ γυναικῶν τινῶν; Οἱ μὲν ἐστεφανωμένοι, σεσωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες αὐτῆς· οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι ὑπὸ τῆς Παιδείας, ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ. Αἱ δὲ γυναῖκες, αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται; Λῦπαι, ἔφη, καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν; Νὴ Δία, πάντα, ἔφη, ἀκολουθοῦσιν. ὅταν δὲ οὗτοι παραγίνωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν, καὶ τὴν Ἀκρασίαν, οὐχὶ αὐτὰς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι καὶ

τὴν

tur; quemadmodum viperarii. Nam ferpentes, qui omnes alios ad necem ufque perfequuntur, illos non lædunt, eo quod veneni remedium habent. Ita & hunc nihil lædit, eo quod remedium habet. Recte mihi dicere videris. Sed illud etiam mihi explica, quinam ii fint, qui inde à tumulo adventant? Quorum alii coronati, fpeciem hilaritatis præ fe ferunt; qui vero coronis carent, defperabundi, cum cruribus & capitibus attritis effe, tum à mulieribus quibufdam detineri videntur. Qui coronas geftant, inquit, incolumes ad Eruditionem pervenerunt, eaque fe potitos effe lætantur. Qui autem Coronis carent, partim ab Eruditione repudiati recedunt, male ac mifere affecti; partim ignavia debilitati, cum ad Tolerantiam afcendiffent, retro redeuntes, nullo certo itinere oberrant. Mulieres vero, eos affectantes, quæ funt? Ærumnæ, inquit, & Moleftiæ, & Defperationes, & Ignominia, & Ignorationes. Si ita eft, ut dicis, mala omnia eos affectantur. Utique profecto mala omnia fequuntur. Cum vero ifti in primum feptum ad Luxuriam & Incontinentiam redierunt, non femet ipfos accufant: fed ftatim & Erudi-

tio-

τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι, καὶ κακοδαίμονες, οἱ τὸν βίον παρ' αὐτοῖς ἀπολιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐτοῖς ἀγαθῶν. ποῖα δὲ λέγουσιν ἀγαθὰ εἶναι; τὴν Ἀσωτίαν, καὶ τὴν Ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπον, ἀπόλαυσιν μεγίστων ἀγαθῶν ἡγοῦνται εἶναι; Αἱ δὲ ἕτεραι γυναῖκες αἱ ἐκεῖθεν παραγινόμεναι, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται, Δόξαι, ἔφη. καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς Ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν, οὓς τότε ἀπήγαγον. Πότερον οὖν, ἔφην ἐγὼ, αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰσπορεύονται; Ἔφη, οὔ. οὐ γὰρ θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην. ἀλλὰ τῇ παιδείᾳ παραδιδόασιν αὐτούς. εἶτα ὅταν ἡ παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι, ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσιν, καὶ ἄλλων τινῶν γεμίζονται. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην, ἐξηγεῖσθαι. ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν; Θαῤῥεῖν, ἔφη. διὸ καὶ ὑμεῖς θαῤῥεῖτε. πάντα γὰρ ἐξηγήσομαι, καὶ οὐδὲν παραλείψω.

Κα-

tioni, & id iter ingressis maledicunt, ut ærumnosis, & miseris atque infelicibus, qui ea vita, quam ipsi agant, relicta, male vivant, nec perfruantur ipsorum bonis. Quæ vero bona esse dicunt? Luxum, & Incontinentiam, ut summatim dicam. Nam, pecudum more gulæ servire maximorum bonorum esse fructum opinantur? Alteræ vero mulieres illinc profectæ, hilares & ridentes, quibus nominibus appellantur? Opiniones, inquit: & perductis ad Eruditionem iis qui ad Virtutes sunt ingressi, redeunt, ut alios adducant, atque renuncient, eos, quos illo adduxerint, jam beatos esse factos. Utrum igitur, inquam, istæ ad Virtutes ingrediuntur? Non, inquit: neque enim fas est Opinionem intrare ad Scientiam: sed Eruditioni tradunt illos. Quos cum Eruditio susceperit, redeunt istæ, rursus alios adducturæ; veluti naves, expositis sarcinis reductæ, aliis rebus onerantur. Ista quidem mihi recte explicare videris. Sed illud nondum declarasti, quid Genius in vitam introëuntibus præcipiat? Ut bonis animis sint, inquit. Quare bonis animis este & vos. Enarrabo enim omnia, neque quicquam prætermittam. Rec-

te

Καλῶς λέγεις, ἔφην ἐγώ. Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, Ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον, ὅτι Τύχη καλεῖται; Ὁρῶμεν. Ταύτῃ κελεύει, ἔφη, μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν, μηδὲ ἀσφαλὲς ἔχειν, ὅ, τι ἂν παρ' αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια ἡγεῖσθαι, οὐδὲν γὰρ κωλύει ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέρῳ διδόναι. πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς ἑαυτῆς δόσεις οὐχ ἥττους γίγνεσθαι, καὶ μήτε χαίρειν ὅταν διδῷ, μήτε ἀθυμεῖν ὅταν ἀφέληται, καὶ μήτε ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν. οὐδὲν γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ' εἰκῆ, καὶ ὡς ἔτυχε πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν τὸ Δαιμόνιον κελεύει, μὴ θαυμάζειν ὅ, τι ἂν πράττῃ αὐτή, μηδὲ γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. καὶ γὰρ ἐκεῖνοι ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι· ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι, οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύει τὸν θέμενον πάλιν κομίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαιμόνιον καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν, καὶ μνημονεύειν, ὅτι ταύτην ἔχει φύσιν ἡ Τύχη. ὥστε, ἃ δέδωκεν, ἀφελέσθαι, καὶ ταχέως

πάλιν

te dicis, inquam. Rurfus igitur extenta manu, Videtis, inquit, mulierem iftam, quæ cæca effe videtur, & rotundo faxo infiftere, quam vobis modo dixi Fortunam appellari? Videmus. Huic, inquit, fidem habere vetat, aut quicquam firmum putari, tutove poffideri, aut pro fuo teneri, quod illi acceptum referatur. Nihil enim obftare, quo minus ea eripiat, & alteri tradat. Sæpe enim eam hoc facere folere. Ob eam igitur caufam monet, ne vincantur illius muneribus; neve gaudeant cum largiatur; neve doleant cum eripiat: utque eam neque laudent, neque vituperent. Neque enim quicquam confulto facere, fed temere, atque inconfiderate, ficut ante vobis dixi. Quare Genius monet, ne mirentur, quicquid illa faciat: neve malos menfarios imitentur, qui accepta ab aliis pecunia gaudeant tanquam fua; eademque repetita indignentur, atque injuriam fibi factam putent: obliti nimirum, ea conditione apud fe fuiffe depofitam, ut abfque ullo impedimento à creditore reciperetur. Eodem ergo modo jubet Genius erga ejus munera effe affectos: & id Fortunæ effe ingenium meminiffe, ut &, quæ dederit, eripiat, & fubito longe plura largia-

tur,

πάλιν δεῖναι πολλαπλάσια, αὖθις δὲ ἀφελέσθαι ἃ δέδωκεν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ προϋπάρχοντα. ἃ γοῦν διδῷ, κελεύει λαμβάνειν παρ' αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντα πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν. Ποίαν ταύτην; ἔφην ἐγώ. Ἣν λήψονται παρὰ τῆς παιδείας, ἢν διασωθῶσιν ἐκεῖ. Αὕτη οὖν τίς ἐστιν; Ἡ ἀληθὴς Ἐπιστήμη, ἔφη, τῶν συμφερόντων, καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλητος. Φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην. καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον, ὅτι Ἀκρασία καὶ Ἡδυπάθεια καλοῦνται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδὲν, ἕως ἂν πρὸς τὴν Ψευδοπαιδείαν ἀφίκωνται. κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρίψαι, καὶ λαβεῖν ὅ τι ἂν βούλωνται παρ' αὐτῆς, ὥσπερ ἐφόδιον. εἶτα ἐντεῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν παιδείαν συντόμως. Ταῦτ' ἐστὶν, ἃ προστάσσει τὸ Δαιμόνιον. Ὅστις τοίνυν παρ' αὐτά τι ποιεῖ ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς. ὁ μὲν δὴ μῦθος, ὦ ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστίν· εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. ἐγὼ γὰρ ὑμῖν φράσω. Καλῶς λέγεις, ἔφην ἐγώ. ἀλλὰ τί κελεύει αὐτοὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας; Ταῦθ' ἃ δοκεῖ εὔχρηστα εἶναι. Ταῦτ'

tur, rursusque auferat ea quæ dederat: nec ea solum, sed illa etiam, quæ illi ante habuerint. Quæ igitur det, accipi jubet ab ea; iisque acceptis quam primum accedi ad constantem & tutam largitionem. Quænam illa est? inquam. Quam ab Eruditione sunt accepturi, si eo pervenerint incolumes. Ea vero quæ est? Vera scientia, inquit, rerum utilium, largitioque constans, tuta & immutabilis. Quare celeriter ad hanc jubet confugi: cumque ad mulieres illas, quas ante dixi Incontinentiam & Luxuriam appellari, pervenerint, etiam ab iis statim discedi, ac ne his quidem fidem haberi ullam: donec ad Falsi nominis Eruditionem progressi fuerint. Apud hanc vero ad tempus eos commorari jubet: & quicquid voluerint, ab ea pro viatico accipere: Post celeriter inde ad Veram Eruditionem contendere. Hæc sunt mandata Genii: quæ qui non observat, aut non recte accipit, malus male perit. Ac fabula quidem, hospites, quam Tabula continet, hujusmodi est. Si quid vero amplius de horum unoquoque percontari placet, licebit. Ego enim vobis dicam. Recte, inquam, dicis. Quid ergo eos Genius à Falsi nominis Eruditione jubet accipere? Ea quæ usui esse videntur. Quænam illa sunt? Literæ, inquit, & cæteræ disciplinæ: quas &

 Pla-

τὰ τῶν ἄλλων μαθημάτων. ἃ καὶ Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται. πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλοι τις ἥξειν πρὸς τὴν ἀληθινὴν παιδείαν, ἢ οὔ; Ἀνάγκη μὲν οὐδεμία, ἔφη, χρήσιμα μὲν τοί ἐστι. πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας; Ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι· ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν, ὡς γὰρ δι' ἑρμηνέως συμβαλλόμεθα τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε οὐκ ἄχρηστον ἦν, καὶ ἡμᾶς αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν, κἄν τι συνήκαμεν. οὕτω ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέσθαι. πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοὶ πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων; πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν ὥσπερ οἱ ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; Οὐδὲν γὰρ κωλύει, εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον καὶ προδότην, καὶ τὸ πέρας ἄφρονα. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν. Πῶς οὖν οὗτοι προέχουσιν, ἔφη, εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων; Οὐδαμῶς φαίνεται ἐκ τούτου

Plato adolescentibus fræni esse instar ait, ne aliis rebus distrahantur. Num vero necesse est istas accipere eum, qui ad Veram Eruditionem pervenire velit, an non? Nulla id quidem necessitas cogit. Nam commodæ illæ quidem sunt, sed ad incrementa virtutis nihil conferunt. Itane eas nihil conferre ad id dicis ut viri meliores evadamus? Licet enim vel sine his fieri meliores, inquit. Neque tamen inutiles sunt etiam istæ. Ut enim aliquando per interpretem ea quæ dicuntur cognoscimus; & tamen non incommodum fuerit, nos ipsos illius linguæ accuratiorem habere cognitionem, quamvis aliquid per interpretem perceperimus: sic disciplinis istis carere, nihil est quod vetet. Non ergo meliore conditione sunt cæteris isti Mathematici, nec facilius possunt fieri meliores? Quo pacto, inquit, præstarent cæteris, cum eos de rebus bonis & malis non minus sentire perperam constet, quam cæteros mortales, & omni adhuc vitiorum genere constrictos teneri? Nihil enim vetat, nosse literas, & tenere disciplinas omnes: & æque tamen esse ebriosum, intemperantem, avarum, injurium, proditorem, denique amentem. Multos certe quidem tales videre licet. Quæ ergo, inquit, istorum quasi prærogativa est ob istas disciplinas, ut in viros evadant meliores? Nulla omnino esse vi-

τοῦ λόγου. Ἀλλὰ τί ἐστιν, ἔφην ἐγώ, τὸ αἴτιον; Ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν παιδείαν. Καὶ τί τοῦτο ὠφελεῖ αὐτούς, ἔφη; ὅταν πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ τῆς Ἀκρασίας, καὶ τῆς ἄλλης κακίας, εἰς τὸν τρίτον περίβολον, πρὸς τὴν παιδείαν τὴν ἀληθινήν, οἳ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν. ὥστε πῶς ἔτι περιέχουσιν; ἄρα ἢ ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι; πῶς ἔφην, τοῦτο, ἐγώ; Ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ εἰ μηδὲν ἄλλο, προσποιοῦνται γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν. ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι, πρὸς τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν παιδείαν. εἶτα τὸ ἕτερον οὐχ ὁρᾷς; ὅτι καὶ αἱ Δόξαι ἐκ τοῦ πρώτου περιβόλου εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως; Ὥστε οὐδὲν οὗτοι ἐκείνων βελτίους εἰσίν, ἐὰν μὴ καὶ τούτοις συνῇ Μεταμέλεια, καὶ πεισθῶσιν, ὅτι οὐ παιδείαν ἔχουσιν, ἀλλὰ Ψευδοπαιδείαν, δι' ἣν ἀπατῶνται. οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. Καὶ ὑμεῖς τοίνυν, ὦ ξένοι, ἔφη, οὕτω ποιεῖτε, καὶ ἐνδιατρίβετε τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λάβητε. ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν. τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι. εἰ δὲ μή, οὐδὲν ὄφελος ἔσται ὧν νῦν ἀκούετε. Ποιησόμεθα. Τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν ἀγαθὰ ὅσα

λαμ-

detur, siquidem ita se res habet. Sed quæ causa est, inquam, cur in secundo versentur septo, tanquam veræ Eruditioni vicini? Et quem, inquit, inde capiunt fructum? cum sæpe videre liceat aliquot è primo septo ab Incontinentia cæterisque vitiis in tertium septum pervenire ad veram Eruditionem, qui istos disciplinarum sectatores prætereunt. Quis ergo jam dicat, eos præstare cæteris? Aut igitur segniores sunt, aut minus dociles? Quomodo istud? inquam. Quia, qui in secundo septo sunt, ut nihil aliud, illud certe peccant, quod ea se scire profitentur, quæ nesciunt. Qua opinione dum imbuti sunt, segniores eos esse necesse est ad veram eruditionem expetendam. Deinde alterum illud non vides, ut Opiniones etiam è primo septo adhuc ad eos commeent? Quare nihilo cæteris hi meliores sunt, nisi cum ipsis etiam Pœnitentia se conjunxerit: persuasumque habuerint, non vera, sed Falsi nominis eruditione se esse præditos, à qua in errores inducantur, eoque incolumes esse nequeant. Et vos igitur, hospites, inquit, nisi ita feceritis, & in iis, quæ diximus, diu multumque versati fueritis, donec habitum acquiratis, (nam sæpius eadem revolvenda sunt, nec intermittenda, sed cætera præ his supervacanea putanda,) nullus vobis eorum usus erit, quæ auditis. Faciemus. Sed hoc declara, cur bona non sint ea, quæ ho-

λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης; οἷον τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια; ἢ πάλιν, τὰ ἐναντία πῶς οὐκ ἔστι κακά; πάνυ γὰρ ἡμῖν παράδοξον καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον. Ἄγε τοίνυν, πειρῶ, ἔφη, ἀποκρίνασθαι τὸ φαινόμενον, περὶ ὧν ἄν σε ἐρωτῶ. Ἀλλὰ ποιήσω τοῦτο, ἔφην ἐγώ. πότερον οὖν κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ; Οὔ μοι δοκεῖ. ἀλλὰ κακὸν, ἔφην ἐγώ. Πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν, ἔφη, εἴπερ τούτῳ ἐστὶ κακόν; Ὅτι τοῖς μὲν κακῶς ζῶσι, κακόν μοι δοκεῖ εἶναι, τοῖς δὲ καλῶς, ἀγαθόν. καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι; Ἔγωγε. Μὴ οὖν ἀπιθάνως λέγε. ἀδύνατον γὰρ τὸ αὐτὸ πρᾶγμα καὶ κακὸν καὶ ἀγαθὸν εἶναι. οὕτω γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη, καὶ αἱρετὸν καὶ φευκτὸν ἅμα ἀεί. Ἀπίθανον μέν. Ἀλλὰ πῶς, εἰ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχοι, κακόν τι ὑπάρχει αὐτῷ. κακὸν αὐτὸ τὸ ζῆν ἐστιν; Ἀλλ' οὐ τὸ αὐτὸ, ἔφη, ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. ἢ οὔ σοι φαίνεται; Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι. Τὸ τοίνυν ζῆν οὐ κακόν ἐστιν. ἐπεὶ εἰ ἦν κακόν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν. Ἀληθῆ μοι δοκεῖς λέγειν. Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν εἶναι τὸ ζῆν, οὔτε κακόν.

homines à Fortuna accipiunt? ut vita, ut sanitas, divitiæ, gloria, liberi, victoria, cæteraque his similia, contraque ea quæ his adversantur, cur mala non sint? Omnino enim admirabilis & incredibilis ista nobis videtur oratio. Age ergo: da, inquit, operam, ut ad ea, quæ rogaro, id respondeas, quod tibi videtur. Ita faciam, inquam. Utrum igitur etiam ei, qui male vivit, bonum est vivere? Non videtur mihi; sed malum. Quo pacto ergo, inquit, bonum est vivere, si illi malum est? Quia ut male viventibus malum mihi videtur vivere: ita bene, bonum. Et malum igitur esse dicis vivere, & bonum? Ego vero. Cave absurde loquaris. Neque enim fieri potest, ut res eadem & mala & bona sit. Sic enim & utilis erit & noxia, simulque semper & expetenda & fugienda. Absurdum id quidem. Sed, si is, qui male vivit, malum habet; quo pacto ipsa vita mala erit? Atqui non idem est, vivere, inquit, & male vivere. An non & tibi videtur? Profecto nec mihi videtur esse idem. Vivere igitur non est malum. Malum enim si esset, etiam bene viventibus utique esset malum. Vitam enim haberent, quæ malum esset. Vera mihi videris dicere. Quia ergo fit, ut vita utrisque suppetat, tam male quam bene viventibus: vivere neque malum fuerit,

rit, neque bonum: ficut neque fecare & urere. Nam ægrotantibus quidem ea falubria funt, fanis vero noxia. Eodem igitur modo, & vita fe habet. Proinde fic tu rem confidera: Mallefne male vivere, an mortem bene oppetere, ac fortiter? Ego vero honefte mori. Ergo neque mori eft malum. Siquidem oppetere mortem fæpe magis eft expetendum, quam vivere. Sunt ifta. Eadem ergo eft & fanitatis ratio, & morborum. Sæpe enim valere non prodeft, fi cafus aliquis ita tulerit. Vera dicis. Age vero, & divitias eodem modo confideremus: fi modo illud confiderare eft, quod fæpe videre licet, eundem & habere divitias, & male misereque vivere. Mehercule multos. Nihil ergo eis divitiæ conferunt ad bene beateque vivendum? Non videtur, cum ipfi mali fint. Viros ergo bonos, non Divitiæ, fed Eruditio facit. Probabile quidem eft. Hac ergo ratione Divitiæ quei bonum funt, cum poffeffores fuos in eo non adjuvent ut fiant meliores? Ita videtur. Ergo nonnullis ne expedit quidem effe divites, cum divitiis uti nefciant. Mea quidem opinione. Quo pacto ergo id quifquam bonum judicabit, quod fæpe nullo modo fuppetere prodeft? Nullo pacto. Si quis ergo divitiis bene & perite uti fcierit, bene vivet: fin minus, male. Veriffima dicere mihi videris. Ad fum-

mam, quia hæc aut in pretio sunt, ut bona; aut in contemptu, ut mala; id ipsum est quod homines perturbet & lædat; cum scilicet ea mortales magnifaciunt, seque per ea sola Felicitatis fore compotes opinantur: eorumque causa ordine faciunt omnia, etsi maxime impia esse videantur. Hæc vero eis accidunt, quia, quid bonum sit, ignorant: neque didicerunt, fieri non posse, ut à malo quidquam boni producatur, vel, quod bonum est, mali quid edat. Exempli causa; Divitiæ quam plurimæ per opera mala atque turpia comparantur: qualia sunt, mendacium, fraus, furtum, templorum & piscinarum spoliatio; & hujusmodi pleraque; quæ ab illis malis, quæ absolute talia sunt, ortum habent. Quare, si bonum nulla ratione ex malo proficiscatur, immensis opibus, à malo provenientibus, titulum ullius boni attribuere non debes. Tum ego, necessario, inquam, ex hoc sermone istud consequitur. Pergo, inquit ille; Nullam justitiam, sapientiam nullam, ex rebus malis comparamus: neque per res laudabiles mali aut iniqui reddimur, quum nec illarum indoles sit, ex his existere; nec harum, ex illis. Nihil item prohibet, quominus opulentia, famæ ampli-

plitudine, victoriis, ac ejusdem censuræ aliis, pravi homines & iniqui fruantur. Unde colligitur, hæc, atque similia, neque bona neque mala; verum Intelligentiam Sapientiamque solas Bona, ut Ignorantiam solam Malum esse. Cui ego; Evicisti, quantum judico, decretum hoc, inquam. Quod satis est. Et profligavimus eam opinionem, qua illa à pravis actionibus esse creduntur, utique multum hoc est, inquit: & idem ac illud, cujus causa diximus, talia neque bona neque mala esse. Idque eo magis, quod, si ea ex solis pravis actionibus provenirent, mala semper essent. Atqui ab utroque genere cuncta proficiscuntur; ideoque neu bona ea, neu mala esse diximus. Quemadmodum somnus vigiliaque, non bona, non mala sunt. Similiter, mea quidem sententia, & deambulare, & sedere, & reliquæ res, quæ unicuique intelligentium ignorantiumque contingunt. Sed eorum vero, quæ alterutrius propria sunt, alterum bonum, malum alterum est: ut tyrannis & justitia, quæ duo aut uni accidunt, aut alteri; eo quod præditis intelligentia perpetuo justitia adhæret, ipsa tyrannis nullos nisi ignoranteis comitatur. Nec enim fieri potest, quod nos ante diximus, ut uni eidemque rei, tempore uno & eodem, acci-

cidant res duæ ad eum se modum habentes; ita ut homo unus & idem eodem temporis momento & dormiat vigiletque, sapiens sit & ignarus simul, vel aliud quidlibet eorum quæ parem rationem habent. Ad hæc ego, Toto hoc, inquam, sermone rem omnem te jam absolvisse autumo. Ille autem sic respondit: Hæc universa ego ab illo principio, quod vere divinum est, proficisci affirmo. At quodnam illud est, inquam, quod tu innuis? Ille id hujusmodi oratione complexus est: Vita & mors, sanitas & morbus, divitiæ & paupertas, cæteraque de quibus diximus ea neque bona neque mala esse, accidunt plerisque hominibus à non-malo. Plane conjicimus, inquam, id necessario ex hoc sermone sequi, talia nempe neu bona neu mala esse: ita tamen, ut haud me firmum in hocce judicio prædicem. Hoc fit, inquit, eo quo longiuscule abs te abest habilitas illa, qua sententiam hanç imaginando debes concipere. Quocirca rerum usum, quem paulo ante vobis indicavi, toto vitæ vestræ curriculo persequimini, ut ea, quæ dicta sunt, vestris insigantur animis, perque eadem habitus vobis accidat. Quod si de aliquo istorum adhuc dubitaveritis, revertimini ad me, ut ea de re id ex me cognos-

noscatis, cujus auxilio dubitatio discedat à vobis.

Finiunt ea, quibus Hercules Socraticus Cebeti Platonico explicavit ænigma, contentum in ea imagine, quæ in vestibulo templi Saturno dicati inventa erat.



ΔΗΜΟΦΙΛΟΥ
ἘΚ ΤΩ͂Ν ΠΥΘΑΓΟΡΕΙΏΝ
Ὁμοιώματα, ἢ Βίου Θεραπεία.

ΔΗΜΟΚΡΑΤΟΥΣ
ΦΙΛΟΣΟΦΟΥ
Γνῶμαι Χρυσαῖ.



DEMOPHILI
SIMILITUDINES,
SEU
Vitæ Curatio, ex Pythagoreis.
&
DEMOCRATIS
PHILOSOPHI
Aureæ Sententiæ



ΔΗΜΟΦΙ'ΛΟΥ

Ε'Κ ΤΩ͂Ν

ΠΥΘΑΓΟΡΕΙ'ΩΝ

Ο῎μοια, ἢ Βίου Θεραπεία.

Ε῎ΟΙΚΕΝ ἡ κολακεία γραπτῇ πανοπλίᾳ· διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχεται.

Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ· καὶ γὰρ τιμὴν ἔχει καὶ τὸ λυσιτελές.

Οἱ ἐλαφροὶ τῶν ἀνθρώπων, καθάπερ τὰ κενὰ τῶν ἀγγείων, εὐβάστακτοι τοῖς ὠταρίοις εἰσίν.


Ὁ βίος, ὥσπερ ὄργανον, ἀνέσει καὶ ἐπιτάσει ἁρμοζόμενος, ἡδίων γίνεται.

Ὁ λόγος, ὥσπερ πλάστης ἀγαθὸς, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα.

Ὁ τῶν σοφῶν νοῦς, ὥσπερ χρυσὸς, βάρος ἔχει μέγιστον.

Τῆς ἀλαζονείας, καθάπερ τῶν κεχρυσωμένων ὅπλων, οὐχ ὅμοιά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός.

Μύ-



DEMOPHILI

SIMILITUDINES,

Seu

Vitæ Curatio, ex Pythagoreis.

ADULATIO pictæ armaturæ ſimilis eſt; ideòque oblectamentum quidem adfert, ſed uſum nullum præbet.

Eruditio ſimilis eſt coronæ aureæ, quæ honorem ſimul cum pretio conjunctum habet.

Homines vani & leves, quemadmodum vaſa inania, facillimè auribus prehenſi ducuntur.

Vita, muſici inſtrumenti inſtar, remiſſione & intentione temperata, ſuavior redditur.

Ratio, ad inſtar boni fictoris, egregiam figuram animo inducit.

Mens ſapientum, ad inſtar auri, ponderis quamplurimum habet.

Jactantiæ, perinde ut armorum deauratorum, interna externis haudquaquam reſpondent.

Μύρῳ τὴν αὐτὴν δύναμιν ἔχει ὁ λόγος· κάμνοντας γὰρ ἡμᾶς ὠφελεῖ, καλῶς πράσσοντας εὐφραίνει.

Φαύλου ἀνδρὸς, καθάπερ κυνὸς κακοῦ, μᾶλλον δεῖ τὴν σιγὴν ἢ τὴν φωνὴν εὐλαβεῖσθαι.

Οὔτε τῇ γαμετῇ πρέπον τὴν ἑταίραν, οὔτε τῇ φιλίᾳ τὴν κολακείαν προτιμᾶσθαι.

Οἱ ἀδολέσχαι, ὥσπερ αἱ χελιδόνες, τῷ συνεχεῖ τῆς λαλιᾶς τὴν ἡδονὴν τῆς ὁμιλίας ἀποβάλλουσι.

Τοὺς μὲν κακοὺς ἀσεβήσαντας, τοὺς δ' ἀνοήτους καὶ θρασεῖς γηράσαντας, αἱ τῶν ἁμαρτημάτων συνδιώκουσιν ἐριννύες.

Τὸν πεπαιδευμένον, ὥσπερ ἐκ συμποσίου, ἐκ τοῦ βίου εὐσχημονοῦντα δεῖ ἀναλύειν.

Λιμὴν μὲν πλοίῳ ὅρμος, βίῳ δὲ φιλία.

Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· πλεῖον γὰρ ἔχει τὸ ὠφελοῦν τοῦ δάκνοντος.

Τὸν σπουδαῖον ἄνδρα, καθάπερ παλαιστὴν ἀγαθὸν, δεῖ πρὸς τὴν ἀνταγωνιζομένην τύχην τὰ βάρη μεταφέρειν.

Ἡ αὐτάρκεια, καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς, χάριν μὲν ἔχει μεγάλην, κόπον δὲ μικρόν.

Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δ' ὀξεῖς θυμοὶ τοῖς λογισμοῖς μετάγονται.

Τῷ γελοίῳ, καθάπερ ἁλὶ, πεφεισμένως δεῖ χρῆσθαι.

Καὶ

Eadem orationis virtus atque unguenti: nam & malè affectos nos juvat, & benè habentes oblectat.

Hominis improbi, haud fecus ac mali canis, filentium magis quàm vox cavenda.

Neque uxori amica, neque amicitiæ adulatio præferenda.

Homines garruli, hirundinum inftar, continuâ loquacitate converfationis voluptatem perdunt.

Homines malos in impietatem prolapfos, dementes verò & protervos fenectute provectos, peccatorum furiæ exagitant.

Sapienti ex vita, veluti ex convivio, modeftè difcedendum.

Navi quidem portus, vitæ autem amicitia ftatio eft.

Parentis objurgatio dulce pharmacum eft: plus enim habet quod juvet, quàm quod mordeat.

Virum bonum boni luctatoris inftar adverfanti fortunæ totâ corporis mole obniti decet.

Frugalitas, brevis & jucundæ viæ inftar, multum gratiæ, defatigationis parum habet.

Equi contumaces frenis, animi ad iracundiam proni rationibus ducuntur.

Joco, falis inftar, parcè utendum.

Καὶ ὑπόδημα καὶ βίος ἁρμόττων ὁ ἀλυπότερος.

Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι οὐσίαι τὰς ψυχὰς ἐμποδίζουσιν.

Τοῖς μὲν σταδιοδρομοῦσιν ἐπὶ τῷ τέρματι τὸ βραβεῖον τῆς νίκης, τοῖς δὲ φιλοπονήσασιν ἐπὶ τοῦ γήρους τὸ πρωτεῖον τῆς φρονήσεως ἀπόκειται.

Δεῖ, ὥσπερ σειρῆνας, τὰς ἡδονὰς παρελθεῖν τὸν κατασπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὡς πατρίδα.

Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες, καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα· οὕτως οἱ ἐν εὐτυχίαις φρονοῦντες, καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἑτοιμάζουσι βοηθήματα.

Αἱ μὲν ἐσθῆτες γενόμεναι διάλαμπροι πάλιν ἐν τῇ χρήσει ἀναπίμπλανται ῥύπου· αἱ δὲ ψυχαὶ ἅπαξ ἀποκαθαιρόμεναι τὴν ἀμάθειαν, διαπαντὸς μένουσι λαμπραί.

Οἱ μὲν δραπέται, κἂν μὴ διώκωνται, φοβοῦνται· οἱ δὲ ἄφρονες, κἂν μήπω κακῶς πράσσωσι, ταράσσονται.

Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

Οἱ μὲν κατ᾽ ἐνιαυτὸν καρποὶ ἐκ τῆς γῆς, οἱ δὲ ἐκ τῆς φιλίας κατὰ πάντα καιρὸν φύονται.

Μου-

Et calceus & fortunæ modus aptè quadrans minùs moleftiarum habet.

Veftes talares corpora, opes immoderatæ animos impediunt.

Stadii curforibus victoriæ præmium in meta, ftudiofis autem prudentiæ palma in fenectute repofita eft.

Voluptates Sirenum inftar prætereundæ funt ei, qui virtutem tanquam patriam vifere cupit.

Ut fecundâ tempeftate navigantes etiam adverfæ præfidia in promptu habent: ita viri fapientes in rebus fecundis etiam adverfæ fortunæ remedia fibi parant.

Veftes lotæ & nitidæ ufu iterum fordibus opplentur: animi autem femel ab ignorantia purgati perpetuò nitorem fervant.

Mancipia fugitiva etiam nemine perfequente timent; ftulti autem, quamvis nullis malis conflictentur, perturbantur.

Divitiæ avarorum, occidui folis inftar terram fubeuntes, nulli viventium voluptatem afferunt.

Ex terra fingulis annis, ex amicitia quovis momento fructus proveniunt.

Μουσικοῦ μὲν ἔργον τὸ πᾶν ὄργανον ἁρμόσασθαι, πεπαιδευμένου δὲ ἀνδρὸς, τὸ πάσῃ ψυχῇ συμφωνῆσαι.

Οὔτ' ἀῤῥώστου πληγὴν, οὔτ' ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.

Ὑπενδύεσθαι δεῖ τῷ μὲν θώρακι χιτῶνα, τῇ δὲ λύπῃ νοῦν.

Νοσοῦντος δίαιτα, καὶ ἄφρονος ψυχὴ, δυσάρεστον.

Οἱ μὲν ἀμαθεῖς παῖδες τὰ γράμματα, οἱ δὲ ἀπαίδευτοι ἄνδρες τὰ πράγματα συγχέουσιν.

Ὁ ἐκ φιλοσοφίας νοῦς ἔοικεν ἡνιόχῳ· περίεισι γὰρ τῶν ἐν ἡμῖν ἐπιθυμιῶν, ἀεὶ μετάγων αὐτὰς εἰς τὸ καλόν.

Τὸ μὲν ἀψίνθιον ὁ καιρὸς τοῦ μέλιτος γλυκύτερον, τὸν δ' ἐχθρὸν ἐντιμότερον τοῦ φίλου ἡ περίστασις ἐνίοτε ποιεῖ.

Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ, καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.

Αἱ μὲν βρονταὶ μάλιστα τοὺς παῖδας ἐκφοβοῦσιν, αἱ δὲ ἀπειλαὶ τοὺς ἄφρονας.

Ἀνδρίαντα μὲν τὸ σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.

Ταὐτόν ἐστιν ἐκ χρυσοῦ ποτηρίου φάρμακον θανάσιμον πιεῖν, καὶ παρὰ φίλου ἀγνώμονος συμβουλίαν λαμβάνειν.

Αἱ μὲν χελιδόνες εὐδίαν σημαίνουσιν ἡμῖν, οἱ

Musici opus est quodcunque instrumentum concinnè adaptare; viri autem sapientis cuivis animo sese adtemperare.

Neque ægroti verbera, neque stulti minæ pertimescendæ.

Thoraci quidem tunica, dolori autem bonus animus subinduendus.

Victus ægrotantis, & stulti animus fastidii plenus.

Pueri indocti literas, viri imperiti actiones confundunt.

Animus sapientiæ præceptis imbutus aurigæ similis est; nam insitas nobis cupiditates cohibet, & ad honestum redigit.

Tempus quidem absinthium melle suavius reddit; occasio autem & necessitas quandoque efficit, ut inimicum amico præferas.

Aliquando & bonus gubernator naufragium, & vir bonus infortunium patitur.

Tonitrua pueros, minæ autem stultos potissimùm terrent.

Statuam figura, virum actio exornat.

Perinde est lethale venenum bibere ex aureo poculo, & consilium ex animo perfido capere.

Hirundines cœli serenitatem, sermones autem

οἱ δὲ φιλοσοφίας λόγοι τὴν ἀλυπίαν.

Οὐχ οὕτως τοῖς ὀρφανοῖς παισὶν, ὡς τοῖς ἀνοήτοις ἀνδράσιν, ἐπιτρόπων ἐστὶ χρεία.

Ἡ τύχη ἔοικε φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ τὸν μηδὲν πράξαντα στεφανοῖ.

Εἰς μὲν τὸ εὐπλοῆσαι κυβερνήτου καὶ πνεύματος χρεία· εἰς δὲ τὸ εὐδαιμονῆσαι λογισμοῦ καὶ τύχης.

Ὁ μὲν δειλὸς καθ' ἑαυτοῦ τὰ ὅπλα, ὁ δὲ ἀνόητος τὰ χρήματα ἔχει.

Τὸ αὐτό ἐστιν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμίζειν, καὶ ἐκ φαύλης γνώμης ἐλπίδα.

Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.

Οὔτε τὸν ἄῤῥωστον ἡ χρυσῆ ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἐπίσημος εὐτυχία.

Τὸ μὲν εὔκρατον ὕδωρ τὰς φλεγμονὰς ἐπιλύει· ὁ δὲ ἐπιεικὴς λόγος τὰς ὀργάς.

Οὔτε ὁ αὐστηρὸς οἶνος εἰς πολυποσίαν εὔθετος· οὔτε ἄγροικος τρόπος εἰς ὁμιλίαν.

Πιθήκου ὀργὴν, καὶ κόλακος ἀπειλὴν, ἐν ἴσῳ θετέον.

Τοῦ βίου, καθάπερ δράματος, πρῶτον μέρος ἐστὶν ἡ νεότης· διὸ πάντες αὐτῇ ... σέχουσιν.

Τὰς μὲν γραφὰς ἀσφαλεστέρας, τὰς δὲ πράξεις λαμπροτέρας ἔχειν δεῖ.

Ὃν τρόπον ἐπὶ τῶν φυτῶν, καὶ ἐπὶ τῶν νέων,

philoſophici tranquillitatem animi nobis prænunciant.

Non tam orbi parentibus pueri, quam viri ſtulti tutoribus indigent.

Fortuna malo munerario ſimilis eſt, qui ſæpius nihil perpetrantem coronat.

Ad feliciter navigandum gubernatore & vento: ad beatè vivendum ratione & fortunâ opus eſt.

Ut timidus arma, ita ſtultus opes contra ſe ipſum habet.

Idem eſt navim infirmæ ancoræ, & ſpem animo perverſo inniti.

Solem ſubinde nebulæ, rationem affectus obtenebrant.

Neque ægrotantem aureus lectus, nec ſtultum fortuna ſplendida juvat.

Temperata aquæ potio inteſtinorum ardores, lenis autem oratio iras diluit.

Neque vinum auſterum largiori compotationi, neque aſperi mores converſationi apti ſunt.

Ira ſimiæ, & adulatoris minæ eodem loco habendæ.

In vita, tanquam in comœdia, primum actum adoleſcentia ſuſtinet; ideo cuncti attento animo eam ſpectant.

Scripturas cautionibus munitas, actiones ſplendidas habere oportet.

Sicut in plantis, ita in pueris quoque prima in-

ἡ πρώτη φυὴ ἀποδείκνυσι τὸν μέλλοντα καρπὸν τῆς ἀρετῆς.

Ἐν μὲν τοῖς συμποσίοις ὁ μὴ παροινῶν ἡδύτερος· ἐν δὲ τοῖς ἀγαθοῖς ὁ μὴ παρανομῶν.

Τὸ αὐτό ἐστιν ὄφιν ἐκτρέφειν, καὶ τὸν πονηρὸν εὐεργετεῖν· παρ' οὐδετέρῳ γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ.

Ἐν μὲν εὐδίᾳ σπάνιον τὸ ναυαγῆσαι· ἐν δὲ τῇ ἀβουλίᾳ, τὸ μὴ ναυαγῆσαι.

Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι, τοὺς δ' ἀνοήτους ἀνθρώπους τὸ οἴημα.

Γυμναζόμενον δεῖ φυλάσσεσθαι τὸν κόπον, εὖ πράσσοντα δὲ τὸν φθόνον.

Μέτρον ἄριστον, ἔφη τις τῶν σοφῶν· ᾧ πειθόμενοι καὶ ἡμεῖς ὁμοίως τὰς τοῦ βίου θεραπείας ἀναπαύσωμεν, φίλτατε ἡμῖν καὶ ἱερώτατε Ἀσκληπιάδη.

ΤΟΥ ΑΥΤΟΥ ΓΝΩΜΑΙ
ΠΥΘΑΓΟΡΙΚΑΙ.

Ἀκλησάμενος οὐ καθέξεις, μὴ αἰτοῦ παρὰ θεοῦ. δῶρον γὰρ θεοῦ πᾶν ἀναφαίρετον· ὥστε οὐ δώσει ὃ μὴ καθέξεις.

Ἄγρυπνος ἔσο κατὰ νοῦν· συγγενὴς γὰρ τοῦ ἀληθινοῦ θανάτου ὁ περὶ τοῦτον ὕπνος.

Βλάπτει θεὸς οὐ χολωθεὶς, ἀλλ' ἀγνοηθείς.

indoles futurum virtutis fructum indicat.

In conviviis quidem suavior est homo minimè vinolentus, in bonis autem minimè iniquus.

Idem est enutrire anguem & malum beneficiis afficere; apud neutrum enim gratia benevolentiam parit.

Rarò secundâ cœli tempestate navis frangitur; rarò autem sine consilio servatur.

Utres inanes ventus, homines autem stultos opinio inflat.

In exercitiis lassitudo, in rebus secundis invidia cavenda.

Modum omnium rerum optimum sapientum aliquis pronunciavit: cujus consilio etiam nos, O amicissime piissiméque Asclepiades, vitæ curandæ præceptis finem imponemus.

EJUSDEM

SENTENTIÆ PYTHAGORICÆ

QUæ parta tueri non possis, ea à Deo ne expetas: nullum enim Dei donum eripi potest; idcirco haudquaquam dabit, quod nequeas conservare.

Mente pervigili esto: nam animi veternus veræ morti affinis est.

Mala hominibus immittit Deus non iratus, sed ig-

θεῖς. ὀργὴ γὰρ θεοῦ ἀλλότριον. ἐπ' ἀβουλήτοις γὰρ ἡ ὀργή· θεῷ δὲ οὐδὲν ἀβούλητον.

Βουλευόμενος περὶ ἄλλου κακῶς, φθάνεις σεαυτῷ πάσχων ὑπὸ σαυτοῦ κακῶς. καὶ αὐτὸς δὲ μὴ βούλου παρὰ κακοῦ πάσχειν καλῶς. οἷον γὰρ τὸ ἦθος ἑκάστου, τοιόσδε ὁ βίος καὶ αἱ πράξεις. ψυχὴ γάρ ἐστι ταμιεῖον, ἀγαθὴ μὲν ἀγαθοῦ, κακὴ δὲ κακοῦ.

Βουλευσάμενος πολλὰ, ἧκε ἐπὶ τὸ λέγειν, ἢ πράττειν· οὐ γὰρ ἕξεις ἐξουσίαν ἀνακαλέσασθαι τὰ πραχθέντα, ἢ λεχθέντα.

Γλῶσσα σοφοῦ οὐ προηγουμένως τίμιον παρὰ θεῷ, ἀλλὰ τὰ ἔργα· σοφὸς γὰρ καὶ σιγῶν τὸν θεὸν τιμᾷ.

Γλωσσαλγὸς ἄνθρωπος καὶ ἀμαθὴς, εὐχόμενος καὶ θύων τὸ θεῖον μιαίνει. μόνος οὖν ἱερεὺς ὁ σοφὸς, μόνος θεοφιλὴς, μόνος εἰδὼς εὔχεσθαι.

Γυμνὸς ἀποσταλεὶς σοφὸς, γυμνιτεύων καλέσει τὸν πέμψαντα· μόνου γὰρ τοῦ μὴ τοῖς ἀλλοτρίοις πεφορτισμένου ἐπήκοος ὁ θεός.

Δῶρον ἄλλο μεῖζον ἀρετῆς οὐκ ἔστι παρὰ θεοῦ λαβεῖν.

Δῶρα καὶ θυσίαι θεὸν οὐ τιμῶσιν, ἀναθήματα θεὸν οὐ κοσμεῖ· ἀλλὰ τὸ ἔνθεον φρόνημα διαρκῶς συνάπτει θεῷ. χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον.

Δουλεύειν πάθεσι χαλεπώτερον, ἢ τυράννοις.

Δια-

ignoratus: ira enim aliena eſt à Deo; quippe quæ in rebus contra voluntatem accidentibus locum habet: Deo autem nihil invito accidit.

Ubi de alio mali quid cogitas, te ipſum malo prævertis: neque verò boni quidquam à malo expectes: nam quales cujuſque mores, talis & vita & actiones: penu enim & promtuarium eſt animus, bonus quidem bonorum, malus autem malorum.

Poſtquam diu multùmque conſulueris, ad dicendum vel agendum accede: neque enim in tua poteſtate erit facta aut dicta revocare.

Non linguam ſed opera ſapientis Deus præcipuè æſtimat: nam ſapiens, etiam cùm tacet, Deum honorat.

Homo garrulus atque imperitus & orando & ſacrificando numen contaminat. Solus igitur ſapiens ſacerdos, ſolus pius, ſolus orandi gnarus.

Sapiens nudus huc miſſus, nudus eum qui miſit invocet: Deus enim ſolum exaudit illum qui alienis non eſt oneratus.

Nullum donum majus virtute à Deo accipi poteſt.

Munera & victimæ nihil honoris Deo conferunt, neque ſuſpenſa templis donaria Deum ornant: ſed mens pia ſolidè nos Deo conjungit: nam ſimile ſimili adjungi neceſſum eſt.

Durius eſt ſervire affectibus, quàm tyrannis.

Præ-

Διαλέγεσθαι ἄμεινον ἑαυτῷ πλέον, εἴπερ τοῖς πέλας.

Ἐὰν ἀεὶ μνημονεύῃς, ὅτι ὅπου ἂν ἡ ἡ ψυχή σου, καὶ τὸ σῶμα ἔργον ἀποτελεῖ, θεὸς ἐφέστηκεν ἔφορος, ἐν πάσαις σοῦ ταῖς εὐχαῖς καὶ πράξεσιν, αἰδεσθήσῃ μὲν τοῦ θεωροῦ τὸ ἄληστον, ἕξεις δὲ τὸν θεὸν σύνοικον.

Ἐφ᾽ ὅσον σαυτὸν ἀγνοεῖς, νόμιζε μαίνεσθαι.

Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα τὰ μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου τούτου παραμένοντα.

Ζῇ ὡς ἀληθῶς θεῷ ὁμοίως ὁ αὐτάρκης καὶ ἀκτήμων φιλόσοφος, καὶ πλοῦτον ἡγεῖται μέγιστον, μηδὲν ἀλλότριον κεκτῆσθαι καὶ μὴ ἀναγκαῖον. ἐπιτείνει γὰρ τὴν ἐπιθυμίαν ποτὲ ἡ τῶν χρημάτων ἐπίκτησις· αὐτάρκης δὲ πρὸς εὐζωίαν τὸ μηδὲν ἀδικεῖν.

Ἡ τῶν ὄντως ὄντων κτῆσις διὰ ῥᾳστώνης οὐ περιγίνεται.

Ἡγοῦ μάλιστα ἀγαθὸν εἶναι, ὃ καὶ ἑτέρῳ μεταδιδόμενον σοὶ μᾶλλον αὔξεται.

Ἡγοῦ μάλιστα φίλους τοὺς ὠφελοῦντας τὴν ψυχήν, ἢ τὸ σῶμα.

Ἡγοῦ παντὸς ἀνοήτου καὶ τὸν ἔπαινον καὶ τὸν ψόγον καταγέλαστον, καὶ ὅλα τὰ τῶν ἀμαθῶν ὄνειδος εἶναι τὸν βίον.

Θέλε μᾶλλον τοὺς συνόντας αἰδεῖσθαί σε, ἢ φοβεῖσθαι· αἰδοῖ γὰρ προσέσεισι σέβας, φόβῳ δὲ μῖσος. Θυη-

Præſtat ſæpius cum ſe ipſo, quàm cum externis colloqui.

Si ſemper memineris, quocunque demum loco anima aut corpus tuum aliquid perpetret, Deum inſpectorem adeſſe; in cunctis quidem orationibus actionibúſque tuis vereberis inſpectoris præſentiam, quem nihil latet: Deum verò intimum pectoris hoſpitem habebis.

In quantum temetipſum ignoras, furere & inſanire te exiſtima.

Ii conjuges & liberi quærendi, qui etiam poſt hanc vitam ſuperſtites maneant.

Vivit reverà vitam Deo ſimilem frugalis inopſque philoſophus, & opes maximas ducit nihil externum & non neceſſarium poſſidere: nam divitiarum acquiſitio quandoque cupiditatem accendit: ſed ad benè beatèque vivendum ſufficit, ne quid injuſtè agas.

Vera bona nequaquam otio & ignaviâ parantur.

Illud potiſſimùm bonum eſſe exiſtima, quod cum alio communicatum tibi magis augetur.

Eos præcipuè amicos judica, qui animum potiùs quàm corpus juvant.

Cujuſvis ſtulti & laudem & vituperium ridiculum ducito: & totam hominis imperiti vitam opprobrium exiſtima.

Da operam ut tui te familiares vereantur potiùs, quàm metuant: nam verecundia venerationem, metus odium conjunctum habet.

Stu-

Θυηπολία ἀφρόνων, πυρὸς τροφή· τὰ δὲ ἀναθήματα, ἱεροσύλων χορηγία.

Ἴσθι, ὡς οὐδεμία περιποίησις πολλῷ χρόνῳ λανθάνει.

Κακὰ μείζω πάσχει διὰ τὸ συνειδὸς ὁ ἀδικῶν, βασανιζόμενος τῇ ψυχῇ, ἤπερ τὸ σῶμα ταῖς πληγαῖς μαστιγούμενος.

Λόγον περὶ θεοῦ τοῖς ὑπὸ δόξης διεφθαρμένοις λέγειν οὐκ ἀσφαλές· καὶ γὰρ τ' ἀληθῆ λέγειν ἐπὶ τούτων, καὶ τὰ ψευδῆ, κίνδυνον φέρει.

Λόγῳ ἡγεμόνι ἐν παντὶ χρώμενος οὐχ ἁμαρτήσεις.

Λυποῦντα τὸν πλησίον, οὐ ῥᾴδιον αὐτὸν ἄλυπον εἶναι.

Μεγάλην παιδείαν νόμιζε, δι' ἣν δυνήσῃ φέρειν ἀγνοούντων ἀπαιδευσίαν.

Νόμου θείου τὸ φαῦλον ἀνήκοον, διὸ καὶ παρανομεῖ.

Ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλ' οὐδὲ συγγενοῦς τι διαφέρει.

Ὅσα πάθη ψυχῆς, τοσοῦτοι οἱ ὠμοὶ δεσπόται.

Οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν.

Παντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ' ἐγκράτειαν.

Πέπεισο μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις.

Ποίει

Stultorum ſacrificia ignis alimenta ſunt; donaria autem, ſacrilegorum proventus.

Id ſcito, nullam ſimulationem diu latere.

Homo iniquus majora perpetitur mala, dum animus ſcelerum conſcientiâ excruciatur, quàm ſi corpus cædatur verberibus.

Apud homines pravis opinionibus imbutos ſermonem de Deo inſtituere haudquaquam tutum eſt; nam æquè periculoſum eſt, ſeu vera ſeu falſa iis dicantur.

Rationem ubique ducem ſequendo nequaquam peccabis.

Aliis moleſtus haud facilè ipſe moleſtiis carebit.

Magnam doctrinam exiſtima, quâ ignorantium imperitiam ferre poſſis.

Improbitas legi divinæ aurem non præbet; ideòque contra leges agit.

Peregrinus vir juſtus non tantùm civi, ſed etiam cognato quodammodo præſtat.

Quot animi affectus, tot immanes domini.

Nemo liber, qui ſui ipſius non ſit compos.

Cujuſcunque boni acquiſitionem conjunctus cum continentia labor præcedit.

Id perſuaſum habeto, tuas opes non eſſe, quas animo reconditas non ſervas.

Ποίει ἃ κρίνεις εἶναι καλὰ, κἂν ποιῶν μέλλῃς ἀδοξήσειν· φαῦλος γὰρ κριτὴς καλοῦ πράγματος ὄχλος.

Πεῖραν ἀνθρώπου ἐκ τῶν ἔργων μᾶλλον λάμβανε ἢ ἐκ τῶν λόγων· πολλοὶ γὰρ βίον μὲν εἰσὶ κακοὶ, λέγειν δὲ πιθανώτατοι.

Πρᾶττε τὰ μεγάλα, μὴ ὑπισχνούμενος μεγάλα.

Ῥιζωθέντες ἐκ θεοῦ καὶ φύντες τὴν αὐτῆς ῥίζης ἐχώμεθα. καὶ γὰρ ὕδατος περιχοαὶ, καὶ τὰ ἄλλα φυτὰ τῆς γῆς, ῥίζης ἀποκοπείσης αὐαίνεται καὶ σήπεται.

Ῥώμη ψυχῆς σωφροσύνη. αὕτη γὰρ ψυχῆς ἀπαθοῦς φῶς ἐστι. τεθνάναι δὲ πολλῷ κρεῖττον, ἢ δι' ἀκρασίας σώματος τὴν ψυχὴν ἀμαυρῶσαι.

Ῥαδίως μὴ μακαρίσῃς ἄνθρωπον σπεύδοντα ἐπὶ φίλοις, ἢ τέκνοις, ἤ τινι τῶν ἐφημέρον τὴν σωτηρίαν ἐχόντων· ἐπισφαλῆ γὰρ πάντα τὰ τοιαῦτα· τὸ δὲ ἐφ' ἑαυτοῦ ὀχεῖσθαι καὶ τοῦ θεοῦ, μόνον βέβαιον.

Σοφὸς ἄνθρωπος καὶ θεοφιλὴς, ὃς ὅσα οἱ ἄλλοι μοχθοῦσι τοῦ σώματος ἕνεκα, τοσαῦτα σπουδάζει αὐτὸς ὑπὲρ ψυχῆς ποιεῖν.

Συγγενεῖ καὶ ἄρχοντι, πλὴν ἐλευθερίας, πάντα εἶκε.

Τέκνα μάνθανε τίκτειν ἀίδια, οὐ τὰ γηροβοσκήσοντα τὸ σῶμα, ἵνα δὲ τὴν ψυχὴν θρέψοντα τῇ ἀιδίῳ τροφῇ.

Φι-

Fac quæ honesta judicas, etiamsi nullam tibi allatura sint gloriam: vulgus enim malus recte factorum arbiter.

Ex operibus potiùs quàm ex sermonibus hominis periculum facito: multi enim male vivunt, & optime loquuntur.

Fac magna, nil magni promittens.

Radicati natique ex Deo radici nostræ inhæreamus: nam & aquarum scaturigines, cæteráque terræ germina succisâ radice siccantur, & putrescunt.

Animæ robur est temperantia: hæc enim vacui affectibus animi lumen est: at multò satius est mori, quàm corporis incontinentiâ animum offuscare.

Haud facile beatum dixeris hominem, qui amicis vel liberis, aut ullâ re fluxâ & caducâ nititur: cuncta enim hæc lubrica sunt: at seipso Deóque niti, id solum firmum & stabile est.

Is sapiens & pius homo est, qui quantum laboris alii corporis causâ sustinent, tantum ipse animo impendere studeat.

Agnato & principi omnia, unâ libertate exceptâ, concede.

Liberos æternos parere discito, non qui corpus in senectute alant, sed qui animum cibo perpetuo nutriant.

Φιλήδονον, καὶ φιλοσώματον, καὶ φιλοχρήματον, καὶ φιλόθεον τῶν αὐτῶν ἀδύνατον εἶναι· ὁ γὰρ φιλήδονος, καὶ φιλοσώματος· ὁ δὲ φιλοσώματος, πάντως καὶ φιλοχρήματος· ὁ δὲ φιλοχρήματος, ἐξ ἀνάγκης ἄδικος· ὁ δὲ ἄδικος, εἰς μὲν θεὸν ἀνόσιος, εἰς δὲ ἀνθρώπους παράνομος· ὥστε κἂν ἑκατόμβας θύῃ, πολὺ μᾶλλον ἀνοσιώτερός ἐστι, καὶ ἀσεβὴς, καὶ ἄθεος, καὶ τῇ προαιρέσει ἱερόσυλος. διὸ καὶ πάντα φιλήδονον, ὡς ἄθεον καὶ μιαρὸν ἐκτρέπεσθαι χρή.

Ψυχῆς ἁγνῆς τόπον οἰκειότερον ἐπὶ γῆς οὐκ ἔχει θεός.

ΤΕ'ΛΟΣ.

ΔΗΜΟΚΡΑ'ΤΟΥΣ
ΦΙΛΟΣΟ'ΦΟΥ
ΓΝΩ῀ΜΑΙ ΧΡΥΣΑΙ῀.

ΓΝΩ'ΜΕΩΝ μὲν τῶν δε εἴτις ἐπαΐοι ξὺν νόῳ, πολλὰ μὲν ῥέξει πράγματ' ἀνδρὸς ἄξια, πολλὰ δὲ φαῦλα οὐχ ἕξει.

Ψυχῆς μὲν τελειότης σκήνους μοχθηρίαν ὀρθοῖ· σώματος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδὲν ἀμείνω τίθησιν.

Ο' τὰ ψυχῆς ἀγαθὰ ἐρεόμενος, τὰ θειότερα ἐρέεται· ὁ τὰ σκήνους, τ' ἀνθρώπινα.

Καλὸν μὲν τὸν ἀδικέοντα κωλύειν· εἰ δὲ μὴ, μὴ ξυν αδικέειν. Α'γα-

Fieri haudquaqnam poteſt, ut unus idemque & voluptatibus, & corpori, & opibus parandis, ſimulque Deo vacet: nam qui voluptatibus deditus eſt, idem quoque ſtudet corpori: at cui corpus curæ eſt, idem profectò & opibus ſtudet: atqui opum ſtudioſus neceſſariò injuſtus eſt: injuſtus autem & impius eſt erga Deum, & iniquus erga homines. Proinde etiamſi hecatombas ſacrificet, multò magis impius eſt, & ab omni religione Deóque averſus, & animi propoſito ſacrilegus: quapropter omnem voluptarium ut impium & ſacrilegum, averſari oportet.

Animo caſto & puro locum convenientiorem in terris non habet Deus.

FINIS.

DEMOCRATIS PHILOSOPHI

AUREÆ SENTENTIÆ.

SENTENTIIS hiſce ſi quis aures animumque adverterit, multa ille opera viro digna patrabit, multis contrà carebit malis.

Animi quidem perfectio corporis vitium corrigit; corporis autem vires ratione deſtitutæ animum nihilo meliorem reddunt.

Quiſquis animi bona amat, diviniora; qui corporis, humana ambit.

Hominem iniquè agentem impedire præſtat; id ſi fieri nequeat, ſaltem non adjuvanda ejus iniquitas.

Ἀγαθὸν εἶναι χρὴ, ἢ μιμεῖσθαι.

Οὔτε σώμασιν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθωσύνῃ καὶ δικαιοσύνῃ.

Μὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον ἀπέχεσθαι ἁμαρτημάτων.

Μέγα τὸ ἐν συμφορῇσι φρονέειν ἃ δεῖ.

Μεταμέλεια ἐπ' αἰσχροῖσι πρήγμασι βίου σωτηρίη.

Ἀληθόμυθον χρὴ εἶναι, οὐ πολύλογον.

Ὁ ἀδικῶν τοῦ ἀδικουμένου κακοδαιμονέστερος.

Μεγαλοψυχίη τὸ φέρειν πραέως πλημμέλειαν.

Νόμῳ, καὶ ἄρχοντι, καὶ τῷ σοφωτέρῳ εἴκειν, κόσμιον.

Μεμφομένων φαύλων ὁ ἀγαθὸς οὐ ποιεῖται λόγον.

Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.

Ὁ χρημάτων παντελῶς ἥσσων οὐκ ἄν ποτε εἴη δίκαιος.

Ἰσχυρώτερος ἐς πειθὼ λόγος πολλαχῇ γίνεται χρυσοῦ.

Τὸν οἰόμενον νοῦν ἔχειν ὁ νουθετῶν ματαιοπονεῖ.

Πολλοὶ λόγον μὴ μαθόντες, ζῶσι κατὰ λόγον.

Πολλοὶ δρῶντες τὰ αἴσχιστα λόγους ἀρίστους ἀσκέουσιν.

Οἱ ἀξύνετοι δυστυχέοντες σωφρονέουσιν.

Ἔργα

Bonum esse, non simulare oportet.

Neque in corpore, neque in opibus posita est hominum felicitas, sed in animo recto, & justitia

Non metu sed officii causâ peccatis abstinendum.

Res magna est, in adversis quæ in rem sint sapere.

Rerum turpium pœnitentia vitæ salus est.

Veridicum non multiloquum esse oportet.

Infelicior est injuriam qui facit, quàm qui sustinet.

Animi magni est humaniter ferre, siquid peccatum fuerit.

Legi, principi, & sapientiori cedere pulcrum est.

Vir bonus improborum reprehensiones nihili facit.

Deteriori parêre durum est.

Qui pecuniis facilè vincitur, haudquaquam erit justus.

Ad persuadendum sæpenumero plùs oratio quàm aurum valet.

Quisquis eum monet, qui prudentiâ se pollere existimat, operam perdit.

Multi, qui rationem non excoluêre, ex ratione vivunt.

Multi turpissima perpetrantes opera optimè meditatis utuntur sermonibus.

Stulti rebus adversis conflictantes sapiunt.

Ἔργα καὶ πρῆξιν ἀρετῆς, οὐ λόγους ζηλοῦν χρεών.

Τὰ καλὰ γνωρίζουσι καὶ ζηλοῦσιν οἱ εὐφυέες πρὸς αὐτά.

Κτηνέων μὲν εὐγένεια ἡ τοῦ σώματος εὐσθένεια· ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη.

Οὔτε τέχνη, οὔτε σοφίη ἐφικτὸν, εἰ μὴ μάθη τίς.

Κρεῖσσον τὰ οἰκεῖα ἐλέγχειν ἁμαρτήματα, ἢ τὰ ὀθνεῖα.

Ὧν ὁ τρόπος ἐστὶν εὔτακτος, τούτοισι καὶ ὁ βίος συντέτακται.

Ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν.

Εὐλογέειν ἐπὶ καλοῖς ἔργοισι χρή. τὸ γὰρ ἐπὶ φαύροισι, κιβδήλου καὶ ἀπατεῶνος.

Πολλοὶ πολυμαθέες νοῦν οὐκ ἔχουσι.

Πολυνοΐην, οὐ πολυμαθίην ἀσκέειν χρή.

Προβουλεύεσθαι κρεῖσσον τῶν πράξεων, ἢ μετανοεῖν.

Μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι πιστεύειν· τὸ μὲν γὰρ εὔηθες, τὸ δὲ σωφρονέοντος.

Δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐξ ὧν πράσσει μόνον, ἀλλὰ καὶ ἐξ ὧν βούλεται.

Παιδὸς, οὐκ ἀνδρὸς, τὸ ἀμέτρως ἐπιθυμεῖν.

Ἡδοναὶ ἄκαιροι τίκτουσιν ἀηδίας.

Αἱ περί τι σφοδραὶ ὀρέξεις τυφλοῦσιν εἰς τἄλλα τὴν ψυχήν.

Reipſa atque opere, non verbis, virtuti ſtudendum.

Homines naturâ ad honeſtatem facti, & cognoſcunt quæ honeſta ſunt, iiſque faciendis operam navant.

Jumentorum generoſitas in corporis robore; hominum verò in rectâ morum conformatione conſiſtit.

Neque ars, neque ſcientia abſque doctrinâ acquiritur.

Præſtat propria, quàm aliena peccata reprehendere.

Quorum mores benè ſunt compoſiti, hiſce & vita rectè componitur.

Bonum eſt non ſolùm ab injuriâ, ſed etiam à voluntate lædendi abſtinere.

De rectè factis benè loquendum: nam de malis benè loqui hominis eſt ſubdoli, atque impoſtoris.

Multi eruditione variâ inſtructi bonâ mente deſtituuntur.

Multiplici potiùs animi ſapientiæ, quàm multifariæ eruditioni ſtudendum.

Præſtat conſilium actiones præcedere, quàm pœnitentiam ſubſequi.

Non omnibus, ſed ſpectatis fidendum: illud enim fatui, hoc prudentis eſt.

Vir probus, aut improbus, non ex operibus tantum, ſed etiam ex voluntate ſpectatur.

Immoderatâ cupiditate trahi pueri eſt, non viri.

Intempeſtivæ voluptates dolores pariunt.

Nimis vehementes cujuſcunque rei appetitus etiam ad cætera animum occœcant.

Δίκαιος ἔρως ἀνύβριστος, ἐφίεσθαι τῶν καλῶν.

Ἡδὺ μηδὲν ἀποδέχεσθαι, ἢν μὴ συμφέρῃ.

Κρεῖσσον ἄρχεσθαι τοῖς ἀνοήτοις, ἢ ἄρχειν.

Νηπίοισιν οὐ λόγος, ἀλλ' ἡ συμφορὰ γίνεται διδάσκαλος.

Δόξα καὶ πλοῦτος ἄνευ συνέσιος οὐκ ἀσφαλέα κτήματα.

Χρήματα μὲν πορίζειν οὐκ ἀχρεῖον, ἐξ ἀδικίας δὲ πάντων χαλεπώτατον.

Χαλεπὸν μιμεῖσθαι μὲν τοὺς κακοὺς, μὴ ἐθέλειν δὲ τοὺς ἀγαθούς.

Αἰσχρὸν τὰ ὀθνεῖα πολυπραγμονέοντα, ἀγνοεῖν τὰ οἰκεῖα.

Τὸ ἀεὶ μέλλειν ἀτελέας ποιέει τὰς πρήξιας.

Κίβδηλοι καὶ ἀγαθοφανέες, οἱ λόγῳ μὲν ἅπαντα, ἔργῳ δὲ οὐδὲν ἔρδοντες.

Μακάριος ὃς οὐσίαν καὶ νοῦν ἔχει. χρῆται γὰρ εἰς ἃ δεῖ καλῶς.

Ἁμαρτίης αἰτίη ἡ ἀμαθίη τοῦ κρείσσονος.

Ἑαυτὸν πρῶτον αἰσχύνεσθαι χρεὼν τὸν αἰσχρὰ ἔρδοντα.

Ὁ ἀντιλογεόμενος καὶ πολλὰ καλλωπιζόμενος, ἀφυὴς εἰς μάθησιν ὧν χρή.

Πλεονεξίη τὸ πάντα λέγειν, μηδὲν δὲ ἀκούειν ἐθέλειν.

Τὸν φαῦλον παραφυλάττειν δεῖ, μὴ καιροῦ λάβηται.

Ὁ

Justus amor citra nullius injuriam honesta ambire.

Nihil jucundum admittas, nisi idem sit conducibile.

Imprudentes aliis parére præstat, quàm imperare.

Non ratio, sed damnum stultorum magistra.

Honor & divitiæ absque prudentiâ, opes sunt parùm securæ.

Opes parare haud quidem inutile; sed injustè parare id verò omnium perniciosissimum.

Malum est imitari improbos, & spernere bonos.

Aliena curiosè scrutantem propria ignorare turpe est.

Continua cunctatio imperfecta reddit opera.

Subdoli homines sunt, & specie tenus boni, qui verbo omnia, re ipsâ nihil præstant.

Felix cui opes & mens suppetunt: nam rectè iisdem, ubi res poscit, utitur.

Peccandi causa, ignorare quid sit melius.

Primùm seipsum vereri debebat quisquis turpia perpetrat.

Homo contentiosus nimiùmque scitus, ineptus est ad discendum ea, quæ usus postulat.

Arrogantia quædam est omnia dicere, nihil audire velle.

Improbum observes, ne occasionem arripiat.

He-

Ὁ φθονῶν, ἑαυτὸν ὡς ἐχθρὸν λυπέει.

Ἐχθρὸς οὐχ ὁ ἀδικῶν, ἀλλὰ καὶ ὁ βουλεύων.

Ἡ τῶν συγγενῶν ἔχθρη τῆς τῶν ὀθνείων χαλεπωτέρη μάλα.

Μὴ ὕποπτος πρὸς ἅπαντας, ἀλλ' εὐλαβὴς γενοῦ καὶ ἀσφαλής.

Χάριτας δέχεσθαι χρεὼν προσκοπευόμενον κρείσσονας αὐτῶν ἀμοιβὰς ἀποδοῦναι.

Χαριζόμενος προσκέπτου τὸν λαμβάνοντα, μὴ κακὸν ἀντ' ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῷ.

Μικραὶ χάριτες ἐν καιρῷ μέγισται τοῖς λαμβάνουσι.

Τιμαὶ παρὰ τοῖς εὖ φρονέουσι μέγα δύνανται, εἰ ξυνίασι τιμώμενοι.

Χαριστικὸς οὐχ ὁ βλέπων πρὸς τὴν ἀμοιβήν, ἀλλ' ὁ εὖ δρᾶν προῃρημένος.

Πολλοὶ δοκέοντες φίλοι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσίν.

Ἑνὸς φιλίη ξυνετοῦ κρείσσων ἀξυνέτων ἁπάντων.

Ζῆν οὐκ ἄξιος, ὅτῳ μηδείς ἐστι χρηστὸς φίλος.

Ἐκτρέπουσι πολλοὶ τοὺς φίλους, εἰ ἐξ εὐπορίης εἰς πενίην μεταπέσωσιν.

Καλὸν ἐπὶ παντὶ τὸ ἴσον, ὑπερβολὴ δὲ καὶ ἔλλειψις οὔ μοι δοκέει.

Οὐδ' ὑφ' ἑνὸς φιλέεσθαι δοκέει μοι ὁ φιλέων μηδένα.

Γέρων εὔχαρις ὁ αἱμύλος καὶ σπουδαιόμυθος.

Homo invidus seipsum, ut hostem, dolore afficit.

Inimicus est non solùm qui injuriam infert, sed etiam qui de inferendâ cogitat.

Consanguineorum inimicitiæ multò asperiores sunt externis.

Non suspiciosum, sed facilem te, & securum cunctis præbe.

Ita admittenda sunt beneficia, ut jam antè tecum dispexeris, quomodo gratias majores reponas.

Vide cui beneficium præstes, ne fortè, si subdolus fuerit, malum pro bono reddat.

Parvum beneficium tempestivè collatum accipientibus fit maximum.

Honores plurimum valent apud prudentes, si sibi collatos intelligant.

Beneficus est, non qui remunerationem spectat, sed qui liberâ sponte præstat beneficium.

Multi cùm videantur amici, non sunt: súntque multi, qui non videntur.

Unius prudentis amicitia stultorum omnium amicitiæ præferenda.

Indignus est qui vivat, cui nullus est amicus commodus.

Multi amicos devitant, si ex largâ fortunâ in paupertatem inciderint.

Æqualitas ubique est bona; sed quod ultra vel citra modum est, haud bonum puto.

A nemine amari existimo, quisquis amat neminem.

Senex lepidus & fabulator longè est gratissimus.

Cor-

Σώματος κάλλος ζωῶδες, ἢν μὴ νοῦς ὑπείῃ.

Εὐτυχίῃ φίλον εὑρεῖν εὔπορον· ἐν δὲ δυστυχίῃ πάντων ἀπορώτατον.

Φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ συμφωνέοντες περὶ τοῦ συμφέροντος.

Ἄξιον ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων συμφορῇσι μὴ γελᾷν, ἀλλ' ὀλοφύρεσθαι.

Διζημένοισι τ' ἀγαθὰ μόλις παραγίνεται, τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.

Οἱ φιλομεμφέες εἰς φιλίην οὐκ εὐφυέες.

Γυνὴ μὴ ἀσκείτω λόγον· δεινὸν γάρ.

Ὑπὸ γυναικὸς ἄρχεσθαι, ὕβρις καὶ ἀνανδρία ἐσχάτη.

Θείου νοῦ τὸ ἀεὶ διαλογίζεσθαι καλόν.

Ἢν πιστεύῃ τις, θεοὺς ἐπισκοπεύειν πάντα, οὔτε λάθρῃ οὔτε φανερῶς ἁμαρτήσεται.

Μεγάλα βλάπτουσι τοὺς ἀξυνέτους οἱ ἐπαινέοντες.

Βέλτερον ὑφ' ἑτέρου, ἢ ὑφ' ἑαυτοῦ ἐπαινεῖσθαι.

Ἢν μὴ γνωρίζῃς τοὺς ἐπαίνους, κολακεύεσθαι ἡγέο.

Ὁ κόσμος σκηνή, ὁ βίος πάροδος· ἦλθες, εἶδες, ἀπῆλθες.

Ὁ κόσμος ἀλλοίωσις· ὁ βίος ὑπόληψις.

Τέλος τῶν τοῦ Δημοκράτους γνωμῶν.

Corporis pulchritudo, nisi mens subsit, animantium propria est.

Rebus secundis amicum invenire facile est; in adversis autem, omnium difficillimum.

Amici sunt non quicunque aguati, sed qui commodis tuis favent.

Homines cùm simus, humanas calamitates non irridere, sed deplorare convenit.

Bona vix quærentibus, mala autem etiam non quærentibus obtingunt.

Homines queruli ad amicitiam sunt inepti.

Mulier dicendi facultatem non exerceat; res enim periculosa est.

Mulieris imperio parére, contumelia & ignavia extrema est.

Animi divini est semper aliquid boni cogitare.

Qui Deum cuncta inspicere crediderit, neque clanculum, neque apertè peccabit.

Qui stultos laudant, magno eos damno afficiunt.

Ab alio, quàm à se ipso laudari præstat.

Si laudes in te ipso non agnoveris, palpum tibi obtrudi existimes.

Mundus scena, vita transitus: venisti, vidisti, abiisti.

Mundus mutatio, vita opinio.

Finis Sententiarum Democratis.

25



